Isocratis Evagoras,
sive evagora laudatio

Ministerio de Educación, Cultura y Deporte

Ministerio de Educación, Cultura y Deporte

FA00127

Ministerio de Educación, Cultura y Deporte

Ministerio de Educación, Cultura y Deporte

Apud J. BARBOU, viâ Mathurinensium.

# ΙΣΟΚΡΑΤΟΥΣ
## ΕΥΑΓΟΡΑΣ,
## Η, ΕΥΑΓΟΡΟΥ ΕΓΚΩΜΙΟΝ.

# *ISOCRATIS*
## EVAGORAS,
## SIVE EVAGORÆ LAUDATIO.

---

### *ARGUMENTUM.*

Hæc Oratio funebris est, in laudem Evagoræ, Salaminis in insula Cypro Regis, ad Nicoclem ejus filium hæredemque Regni scripta. Ordo talis fere est: primùm, Evagoræ nihil posse gratius fieri, quàm si res ejus gestæ ornatâ Oratione celebrentur; quod difficile factu esse ostendit Orator. Deinde exorsus a natalibus, per omnes ætatum gradus virtutes & egregia ejus facinora copiosissimè & splendidissimè persequitur usque ad obitum. Denique Nicoclem ad exempli paterni imitationem adhortatur.

EXORDIUM. ΟΡΩΝ, ὦ Νικόκλεις, τιμῶντά σε τὸν τάφον τοῦ πατρὸς, οὐ μόνον τῷ πλήθει



XXXV
V-12
R. M. 562
MUSEO ARQUEOLOGICO NACIONAL
Ministerio de Educación, Cultura y Deporte

καὶ τῷ κάλλει τῶν ἐπιφερομένων, ἀλλὰ καὶ χοροῖς καὶ μουσικῇ καὶ γυμνικοῖς ἀγῶσιν, ἔτι δὲ πρὸς τούτοις ἵππων τε καὶ τριηρῶν ἁμίλλαις, καὶ λείποντα οὐδεμίαν τῶν τοιούτων ὑπερβολὴν, ἡγησάμην Εὐαγόραν (εἴ τις ἐστὶν αἴσθησις τοῖς τετελευτηκόσι περὶ τῶν ἐνθάδε γιγνομένων) εὐμενῶς μὲν ἀποδέχεσθαι καὶ ταῦτα, καὶ χαίρειν, ὁρῶντα τήν τε περὶ αὑτὸν ἐπιμέλειαν καὶ τὴν σὴν μεγαλοπρέπειαν, πολὺ δ' ἂν ἔτι πλείω χάριν ἔχειν ἢ τοῖς ἄλλοις ἅπασιν, εἴ τις δυνηθείη περὶ τῶν ἐπιτηδευμάτων αὐτοῦ καὶ τῶν κινδύνων ἀξίως διελθεῖν τῶν ἐκείνῳ πεπραγμένων. Εὑρήσομεν γὰρ τοὺς φιλοτίμους καὶ μεγαλοψύχους τῶν ἀνδρῶν, οὐ μόνον ἀντὶ τῶν τοιούτων ἐπαινεῖσθαι βουλομένους, ἀλλ' ἀντὶ τοῦ ζῆν ἀποθνήσκειν εὐκλεῶς αἱρουμένους, καὶ μᾶλλον περὶ τῆς δόξης ἢ τοῦ βίου σπουδάζοντας, καὶ πάντα ποιοῦντας, ὅπως ἀθάνατον τὴν περὶ αὑτῶν μνήμην καταλείψωσιν. Αἱ μὲν οὖν δαπάναι τῶν μὲν τοιούτων οὐδὲν ἐξεργάζονται, τοῦ δὲ πλούτου σημεῖόν εἰσιν· οἱ δὲ περὶ τὴν μουσικὴν καὶ τὰς ἄλλας ἀγωνίας ὄντες, οἱ μὲν τὰς δυνάμεις αὑτῶν, οἱ δὲ τὰς τέχνας ἐπιδειξάμενοι, σφᾶς αὐτοὺς ἐντιμοτέρους κατέστησαν· ὁ δὲ λόγος, εἰ καλῶς διέλθοι τὰς ἐκείνου πράξεις, ἀείμνηστον

Ministerio de Educación, Cultura y Deporte

ἂν τὴν ἀρετὴν τὴν Εὐαγόρου παρὰ πᾶσιν ἀνθρώποις ποιήσειεν.

Ἐχρῆν μὲν οὖν καὶ τοὺς ἄλλους ἐπαινεῖν τοὺς ἐφ' ἑαυτῶν ἄνδρας ἀγαθοὺς γεγενημένους, ἵνα οἵ τε δυνάμενοι τὰ τῶν πολλῶν ἔργα κοσμεῖν, ἐν εἰδόσι ποιούμενοι τοὺς λόγους ταῖς ἀληθείαις ἐχρῶντο περὶ αὐτῶν, οἵ τε νεώτεροι φιλοτιμοτέρως διέκειντο πρὸς τὴν ἀρετήν, εἰδότες ὅτι τούτων εὐλογηθήσονται μᾶλλον, ὧν ἂν ἀμείνους σφᾶς αὐτοὺς παράσχωσι. Νῦν δὲ τίς οὐκ ἂν ἀθυμήσειεν, ὅταν ὁρᾷ τοὺς μὲν περὶ τὰ Τρωικὰ, τούς τ' ἐπέκεινα γενομένους, ὑμνουμένους καὶ τραγῳδουμένους, ἑαυτὸν δὲ προειδῇ, μηδ' ἂν ὑπερβάλληται τὰς ἐκείνων ἀρετὰς, μηδέποτε τοιούτων ἐπαίνων ἀξιωθησόμενον; Τούτων δ' αἴτιος ὁ φθόνος, ᾧ τοῦτο μόνον πρόσεστιν ἀγαθὸν, ὅτι μέγιστον κακὸν τοῖς ἔχουσιν ἐστίν. Οὕτω γάρ τινες δυσκόλως πεφύκασιν, ὥσθ' ἥδιον εὐλογουμένων ἀκούειν, οὓς οὐκ ἴσασιν εἰ γεγόνασιν, ἢ τούτων, ὑφ' ὧν εὖ πεπονθότες αὐτοὶ τυγχάνουσιν, ἀποδέχεσθαι. Οὐ μὴν δουλευτέον τοὺς γε νοῦν ἔχοντας τοῖς οὕτω κακῶς φρονοῦσιν, ἀλλὰ τῶν μὲν τοιούτων ἀμελητέον, τοὺς δὲ ἄλλους ἐθιστέον ἀκούειν, περὶ ὧν καὶ λέγειν δικαιότερον ἐστιν· ἄλλως τ' ἐπειδὴ καὶ τὰς ἐπιδόσεις ὁρῶμεν γιγνο-



Ministerio de Educación, Cultura y Deporte

μένας καὶ τῶν τεχνῶν καὶ τῶν ἄλλων ἁπάντων, οὐ διὰ τοὺς ἐμμένοντας τοῖς καθεστῶσιν, ἀλλὰ διὰ τοὺς ἐπανορθοῦντας καὶ τολμῶντας ἀεί τι κινεῖν τῶν μὴ καλῶς ἐχόντων.

Οἶδα μὲν οὖν, ὅτι χαλεπόν ἐστιν ὃ μέλλω ποιεῖν, ἀνδρὸς ἀρετὴν διὰ λόγων ἐγκωμιάζειν. Σημεῖον δὲ μέγιστον. Περὶ μὲν γὰρ ἄλλων πολλῶν καὶ παντοδαπῶν λέγειν τολμῶσιν οἱ περὶ τὴν φιλοσοφίαν ὄντες· περὶ δὲ τῶν τοιούτων οὐδεὶς πώποτε αὐτῶν συγγράφειν ἐπεχείρησε. Καὶ πολλὴν αὐτοῖς ἔχω συγγνώμην. Τοῖς μὲν γὰρ ποιηταῖς πολλοὶ δέδονται κόσμοι· καὶ γὰρ πλησιάζοντας τοῖς ἀνθρώποις τοὺς θεοὺς οἷόν τ' αὐτοῖς ἐστι ποιῆσαι, καὶ διαλεγομένους καὶ συναγωνιζομένους οἷς ἂν βουληθῶσι, καὶ περὶ τούτων δηλῶσαι μὴ μόνον τοῖς τεταγμένοις ὀνόμασιν, ἀλλὰ τὰ μὲν ξένοις, τὰ δὲ καινοῖς, τὰ δὲ μεταφοραῖς, καὶ μηδὲν παραλιπεῖν, ἀλλὰ πᾶσι τοῖς εἴδεσι διαποικῖλαι τὴν ποίησιν· τοῖς δὲ περὶ τοὺς λόγους οὐδὲν ἔξεστι τῶν τοιούτων, ἀλλ' ἀποτόμως καὶ τῶν ὀνομάτων τοῖς πολιτικοῖς καὶ τῶν ἐνθυμημάτων τοῖς περὶ αὐτὰς τὰς πράξεις ἀναγκαῖόν ἐστι χρῆσθαι. Πρὸς δὲ τούτοις, οἱ μὲν μετὰ μέτρων καὶ ῥυθμῶν ἅπαντα ποιοῦσιν, οἱ δ' οὐδενὸς τούτων κοινωνοῦσιν· ἃ τοσαύτην ἔχει χάριν, ὥστ'

Ministerio de Educación, Cultura y Deporte

ἂν καὶ τῇ λέξει καὶ τοῖς ἐνθυμήμασιν ἔχῃ κακῶς, ὅμως ταῖς γε εὐρυθμίαις καὶ ταῖς συμμετρίαις ψυχαγωγοῦσι τοὺς ἀκούοντας. Καταμάθοι δ᾽ ἄν τις ἐκεῖθεν τὴν δύναμιν αὐτῶν· ἢν γάρ τις τῶν ποιημάτων τῶν εὐδοκιμούντων τὰ μὲν ὀνόματα καὶ τὰς διανοίας καταλίπῃ, τὸ δὲ μέτρον διαλύσῃ, φανήσεται πολὺ καταδεέστερα τῆς δόξης, ἧς νῦν ἔχομεν περὶ αὐτῶν. Ὅμως δὲ καίπερ τοσοῦτον πλεονεκτούσης τῆς ποιήσεως, οὐκ ὀκνητέον, ἀλλ᾽ ἀποπειρατέον ἐστὶ τῶν λόγων, εἰ καὶ οὗτοι δυνήσονται τοὺς ἀγαθοὺς ἄνδρας εὖ λέγειν, μηδὲν χεῖρον τῶν ἐν ταῖς ᾠδαῖς καὶ τοῖς μέτροις ἐγκωμιαζόντων.

*Laudatur Evagoras a nobilitate.*

Πρῶτον μὲν οὖν περὶ τῆς φύσεως τοῦ Εὐαγόρου καὶ τίνων ἦν ἀπόγονος, εἰ καὶ πολλοὶ προεπίστανται, δοκεῖ μοι πρέπειν κἀμὲ τῶν ἄλλων ἕνεκα διελθεῖν περὶ αὐτῶν, ἵνα πάντες εἰδῶσιν, ὅτι καλλίστων αὐτῷ καὶ μεγίστων παραδειγμάτων καταλειφθέντων, οὐδὲν καταδεέστερον ἑαυτὸν ἐκείνων παρέσχεν. Ὁμολογεῖται μὲν γὰρ τοὺς ἀπὸ Διὸς εὐγενεστάτους τῶν ἡμιθέων εἶναι, τούτων δὲ αὐτῶν οὐκ ἔστιν ὅστις οὐκ ἂν



Ministerio de Educación, Cultura y Deporte

Αἰακίδας προκρίνειεν. Ἐν μὲν γὰρ τοῖς ἄλλοις γένεσιν εὑρήσομεν τοὺς μὲν ὑπερβάλλοντας, τοὺς δὲ καταδεεστέρους ὄντας· οὗτοι δὲ ἅπαντες ὀνομαστότατοι τῶν καθ' ἑαυτοὺς γεγόνασι. Τοῦτο μὲν γὰρ Αἰακὸς ὁ Διὸς μὲν ἔκγονος, τοῦ δὲ γένους τῶν Τευκριδῶν πρόγονος, τοσοῦτον διήνεγκεν, ὥστε γενομένων αὐχμῶν ἐν τοῖς Ἕλλησι, καὶ πολλῶν ἀνθρώπων διαφθαρέντων, ἐπειδὴ τὸ μέγεθος τῆς συμφορᾶς ὑπερέβαλεν, ἦλθον οἱ προεστῶτες τῶν πόλεων ἱκετεύοντες αὐτὸν, νομίζοντες διὰ τῆς εὐγενείας καὶ τῆς εὐσεβείας τῆς ἐκείνου τάχιστ' ἂν εὑρέσθαι παρὰ τῶν θεῶν τῶν παρόντων κακῶν ἀπαλλαγήν· σωθέντες δὲ καὶ τυχόντες ἁπάντων ὧν ἐδεήθησαν, ἱερὸν ἐν Αἰγίνῃ κατεστήσαντο κοινὸν τῶν Ἑλλήνων, οὗπερ ἐκεῖνος ἐποιήσατο τὴν εὐχήν.

Καὶ κατ' ἐκεῖνον μὲν τὸν χρόνον, ἕως ἦν μετ' ἀνθρώπων, μετὰ καλλίστης δόξης ὢν διετέλεσεν· ἐπειδὴ δὲ μετήλλαξε τὸν βίον, λέγεται παρὰ Πλούτωνι καὶ Κόρῃ τιμὰς μεγίστας ἔχων παρεδρεύειν ἐκείνοις. Τούτου δὲ παῖδες ἦσαν Τελαμὼν καὶ Πηλεύς, ὧν ὁ μὲν ἕτερος μεθ' Ἡρακλέους ἐπὶ Λαομέδοντα στρατευσάμενος τῶν ἀριστείων ἔτυχε, Πηλεὺς δὲ ἐν τῇ μάχῃ τῇ πρὸς Κενταύρους ἀριστεύσας καὶ κατὰ πολλοὺς

Ministerio de Educación, Cultura y Deporte

ἄλλους κινδύνους εὐδοκιμήσας, Θέτιδι τῇ Νηρέως θνητὸς ὢν ἀθανάτῳ συνῴκησε· καὶ μόνου τούτου φασὶ τῶν προγεγενημένων, ὑπὸ θεῶν ἐν τοῖς γάμοις ὑμέναιον ᾀσθῆναι. Τούτοιν δ᾽ ἑκατέροιν, Τελαμῶνος μὲν Αἴας καὶ Τεῦκρος ἐγεννήθη, Πηλέως δὲ Ἀχιλλεύς, οἳ μέγιστον καὶ σαφέστατον ἔλεγχον ἔδοσαν τῆς αὐτῶν ἀρετῆς· οὐ γὰρ ἐν ταῖς αὐτῶν πόλεσιν ἐπρώτευσαν μόνον, οὐδὲ ἐν τοῖς τόποις ἐν οἷς κατῴκουν, ἀλλὰ στρατείας τοῖς Ἕλλησιν ἐπὶ τοὺς βαρβάρους γινομένης, καὶ πολλῶν μὲν ἑκατέρωθεν ἀθροισθέντων, οὐδενὸς δὲ τῶν ὀνομαστῶν ἀπολειφθέντος, ἐν τούτοις τοῖς κινδύνοις Ἀχιλλεὺς μὲν ἁπάντων διήνεγκεν, Αἴας δὲ μετ᾽ ἐκεῖνον ἠρίστευσε. Τεῦκρος δὲ τῆς τε τούτων συγγενείας ἄξιος καὶ τῶν ἄλλων οὐδενὸς χείρων γενόμενος, ἐπειδὴ Τροίαν συνεξεῖλεν, ἀφικόμενος εἰς Κύπρον Σαλαμῖνά τε κατῴκησεν, ὁμώνυμον ποιήσας τῆς πρότερον αὐτῷ πατρίδος οὔσης, καὶ τὸ γένος τὸ νῦν βασιλεῦον κατέλιπε.

Τὰ μὲν οὖν ἐξ ἀρχῆς Εὐαγόρᾳ παρὰ τῶν προγόνων ὑπάρξαντα τηλικαῦτα τὸ μέγεθός ἐστι. Τοῦτον δὲ τὸν τρόπον τῆς πόλεως οἰκισθείσης, κατὰ μὲν ἀρχὰς οἱ γεγονότες ἀπὸ Τεύκρου τὴν βασιλείαν εἶχον. Χρόνῳ δὲ ὕστερον



Ministerio de Educación, Cultura y Deporte

ἀφικόμενος ἐκ Φοινίκης ἀνὴρ φυγὰς, καὶ πιστευθεὶς ὑπὸ τοῦ βασιλεύοντος τότε καὶ δυναστείας μεγάλας λαβὼν, οὐ χάριν ἔσχε τούτων, ἀλλὰ κακὸς μὲν γινόμενος περὶ τὸν ὑποδεξάμενον, δεινὸς δὲ πρὸς τὸ πλεονεκτῆσαι, τὸν μὲν εὐεργέτην ἐξέβαλεν, αὐτὸς δὲ τὴν βασιλείαν κατέσχεν· ἀπιστῶν δὲ τοῖς πεπραγμένοις καὶ βουλόμενος ἀσφαλῶς καταθέσθαι τὰ περὶ αὐτὸν, τήν τε πόλιν ἐξεβαρβάρωσε, καὶ τὴν νῆσον ὅλην βασιλεῖ τῷ μεγάλῳ κατεδούλωσεν.

*Laudatur ab animi & corporis virtutibus.*

Οὕτω δὲ τῶν πραγμάτων καθεστώτων, Εὐαγόρας γίνεται· περὶ οὗ τὰς μὲν φήμας καὶ τὰς ὄψεις τὰς ἐν τοῖς ὕπνοις γινομένας (ἐξ ὧν μείζων ἂν φανείη γεγονὼς ἢ κατ' ἄνθρωπον) αἱροῦμαι καταλιπεῖν, οὐκ ἀπιστῶν τοῖς λεγομένοις, ἀλλὰ ἵνα πᾶσι ποιήσω φανερὸν, ὅτι τοσούτου δέω πλασάμενος εἰπεῖν τι περὶ τῶν ἐκείνῳ πεπραγμένων, ὥστε καὶ τῶν ὑπαρχόντων ἀφίημι τὰ τοιαῦτα, περὶ ὧν ὀλίγοι τινὲς ἐπίστανται, καὶ μὴ πάντες οἱ πολίται συνίσασιν. Ἄρξομαι δὲ ἐκ τῶν ὁμολογουμένων λέγειν περὶ αὐτοῦ. Παῖς μὲν γὰρ ὢν ἔσχε κάλλος καὶ ῥώμην καὶ σωφροσύνην· ἅπερ τῶν ἀγαθῶν πρε-

Ministerio de Educación, Cultura y Deporte

πωδέςατα τοῖς τηλικούτοις ἐστί. Καὶ τούτων ἄν τις μάρτυρας ποιήσαιτο, τῆς μὲν σωφροσύνης, τοὺς συμπαιδευθέντας τῶν πολιτῶν· τοῦ δὲ κάλλους, ἅπαντας τοὺς ἰδόντας· τῆς δὲ ῥώμης, τοὺς ἀγῶνας ἐν οἷς ἐκεῖνος τῶν ἡλικιωτῶν ἐκρατίστευσεν. Ανδρὶ δὲ γενομένῳ ταῦτά τε πάντα συνηυξήθη, καὶ πρὸς τούτοις ἀνδρία προσεγένετο καὶ σοφία καὶ δικαιοσύνη· καὶ ταῦτα οὐ μέσως οὐδὲ ὥσπερ ἐν ἑτέροις τισὶν, ἀλλ᾽ ἕκαστον αὐτῶν πρὸς ὑπερβολήν. Τοσοῦτον γὰρ καὶ ταῖς τοῦ σώματος καὶ ταῖς τῆς ψυχῆς ἀρεταῖς διήνεγκεν, ὥστ᾽ ὁπότε μὲν αὐτὸν ὁρῷεν οἱ τότε βασιλεύοντες, ἐκπλήττεσθαι καὶ φοβεῖσθαι περὶ τῆς ἀρχῆς, ἡγουμένους οὐχ οἷόν τ᾽ εἶναι τὸν τοιοῦτον τὴν φύσιν ἐν ἰδιώτου μέρει διαγαγεῖν· ὁπότε δ᾽ ἐς τοὺς τρόπους ἀποβλέψαιεν, οὕτω σφόδρα πιστεύειν, ὥστε καὶ εἴ τις ἄλλος τολμῴη περὶ αὐτοὺς ἐξαμαρτάνειν, νομίζειν Εὐαγόραν αὐτοῖς ἔσεσθαι βοηθόν.

## *Laudatur a factis : 1°. quomodo regnum receperit.*

Καὶ τοσοῦτον τῆς δόξης παραλλαττούσης, οὐδετέρου τούτων ἐψεύσθησαν. Οὔτε γὰρ ἰδιώτης ὢν διετέλεσεν, οὔτε περὶ ἐκείνους ἐξήμαρτεν· ἀλλὰ

Ministerio de Educación, Cultura y Deporte

τοσαύτην ὁ δαίμων ἔσχεν αὐτοῦ πρόνοιαν, ὅπως καλῶς λήψηται τὴν βασιλείαν, ὥσθ' ὅσα μὲν ἀναγκαῖον ἦν παρασκευασθῆναι δι' ἀσεβείας, ταῦτα μὲν ἕτερος ἔπραξεν, ἐξ ὧν δ' οἷόν τ' ἦν ὁσίως καὶ δικαίως λαβεῖν τὴν ἀρχὴν Εὐαγόραν, διεφύλαξεν. Εἷς γὰρ τῶν δυναστευόντων ἐπιβουλεύσας, τόν τε τύραννον ἀπέκτεινε, καὶ συλλαβεῖν Εὐαγόραν ἐπεχείρησεν, ἡγούμενος οὐ δυνήσεσθαι κατασχεῖν τὴν ἀρχὴν, εἰ μὴ κἀκεῖνον ἐκ ποδῶν ποιήσειε. Διαφυγὼν δὲ τὸν κίνδυνον καὶ σωθεὶς εἰς Σόλους τῆς Κιλικίας, οὐ τὴν αὐτὴν γνώμην ἔσχε τοῖς ταῖς τοιαύταις συμφοραῖς περιπίπτουσιν. Οἱ μὲν γὰρ ἄλλοι, κἂν ἐκ τυραννίδος ἐκπέσωσι, διὰ τὰς παρούσας τύχας ταπεινοτέρας τὰς ψυχὰς ἔχουσιν· ἐκεῖνος δὲ εἰς τοσοῦτο μεγαλοφροσύνης ἦλθεν, ὥστε τὸν ἄλλον χρόνον ἰδιώτης ὢν, ἐπειδὴ φυγεῖν ἠναγκάσθη, τυραννεῖν ᾠήθη δεῖν. Καὶ τοὺς μὲν πλάνους τοὺς φυγαδικοὺς, καὶ τὸ δι' ἑτέρων ζητεῖν τὴν κάθοδον, καὶ θεραπεύειν τοὺς αὐτοῦ χείρους, ὑπερεῖδε· λαβὼν δὲ ταύτην τὴν ἀφορμὴν, ἥνπερ χρὴ τοὺς εὐσεβεῖν βουλομένους, ἀμύνεσθαι, καὶ μὴ προτέρους ὑπάρχειν· καὶ προελόμενος, ἢ κατορθώσας τυραννεῖν, ἢ διαμαρτὼν ἀποθανεῖν, παρακα-

Ministerio de Educación, Cultura y Deporte

λέσας ἀνθρώποις, ὡς οἱ πλεῖστοι λέγουσι, περὶ πεντήκοντα, μετὰ τούτων παρεσκευάζετο ποιεῖσθαι τὴν κάθοδον.

Ὅθεν καὶ μάλιστ' ἄν τις τήν φύσιν τὴν ἐκείνου, καὶ τὴν δόξαν, ἣν εἶχε παρὰ τοῖς ἄλλοις, θεωρήσειε. Μέλλων τε γὰρ πλεῖν μετὰ τοσούτων ἐπὶ τηλικαύτην πρᾶξιν τὸ μέγεθος καὶ πάντων τῶν δεινῶν πλησίον ὄντων, οὔτ' ἐκεῖνος ἠθύμησεν, οὔτε τῶν παρακληθέντων οὐδεὶς ἀποστῆναι τῶν κινδύνων ἠξίωσεν· ἀλλ' οἱ μὲν, ὥσπερ Θεῷ συνακολουθήσαντες, ἅπαντες ἐνέμειναν τοῖς ὡμολογημένοις, ὁ δὲ, ὡσπερεὶ στρατόπεδον ἔχων κρεῖττον τῶν ἀντιπάλων, ἢ προειδὼς τὸ συμβησόμενον, οὕτω διέκειτο τὴν γνώμην. Δῆλον δὲ ἐκ τῶν ἔργων. Ἀποβὰς γὰρ εἰς τὴν νῆσον, οὐχ ἡγήσατο δεῖν, χωρίον ἐχυρὸν καταλαβὼν, καὶ τὸ σῶμα ἐν ἀσφαλείᾳ καταστήσας, περιιδεῖν, εἴ τινες αὐτῷ τῶν πολιτῶν βοηθήσουσιν· ἀλλ' εὐθὺς, ὥσπερ εἶχε ταύτης τῆς νυκτὸς, διελὼν τοῦ τείχους πυλίδα, καὶ ταύτῃ τοὺς μεθ' ἑαυτοῦ διαγαγὼν, προσέβαλε πρὸς τὸ βασίλειον. Καὶ τοὺς μὲν θορύβους τοὺς ἐν τοῖς τοιούτοις καιροῖς συμβαίνοντας καὶ τοὺς φόβους τῶν ἄλλων καὶ τὰς παρακελεύσεις τὰς ἐκείνου, τί δεῖ λέγοντα διατεί-

Ministerio de Educación, Cultura y Deporte

βεῖν; Γενομένων δ' αὐτῷ τῶν μὲν περὶ τὸν τύραννον ἀνταγωνιστῶν, τῶν δ' ἄλλων πολιτῶν θεατῶν, (δεδιότες γὰρ τοῦ μὲν τὴν ἀρχὴν, τοῦ δὲ τὴν ἀρετὴν, ἡσυχίαν ἦγον) οὐ πρότερον ἐπαύσατο μαχόμενος, καὶ μόνος πρὸς πολλοὺς, καὶ μετ' ὀλίγων πρὸς ἅπαντας τοὺς ἐχθροὺς, πρὶν ἑλὼν τὸ βασίλειον, καὶ τοὺς ἐχθροὺς ἐτιμωρήσατο, καὶ τοῖς φίλοις ἐβοήθησεν, ἔτι δὲ τῷ γένει τὰς τιμὰς τὰς πατρίους ἐκομίσατο, καὶ τύραννον αὐτὸν τῆς πόλεως κατέστησεν.

Ἡγοῦμαι μὲν οὖν, εἰ καὶ μηδενὸς ἄλλου μνησθείην, ἀλλ' ἐνταῦθα καταλίποιμι τὸν λόγον, ῥᾴδιον ἐκ τούτων εἶναι γνῶναι τήν τε ἀρετὴν τὴν Εὐαγόρου καὶ τὸ μέγεθος τῶν ἐκείνῳ πεπραγμένων· οὐ μὴν ἀλλ' ἔτι γε σαφέστερον περὶ ἀμφοτέρων τούτων ἐκ τῶν ἐχομένων οἶμαι δηλώσειν. Τοσούτων γὰρ τυράννων ἐν ἅπαντι τῷ χρόνῳ γεγενημένων, οὐδεὶς φανήσεται τὴν τιμὴν ταύτην κάλλιον ἐκείνου κτησάμενος Εἰ μὲν οὖν πρὸς ἕκαστον αὐτῶν τὰς πράξεις τὰς Εὐαγόρου παραβάλοιμεν, οὔτ' ἂν ὁ λόγος ἴσως τοῖς ἀκούουσιν ἀρέσειεν, οὔτ' ἂν ὁ χρόνος τοῖς λεγομένοις ἀρκέσειεν· ἐὰν δὲ προελόμενοι τοὺς εὐδοκιμωτάτους, ἐπὶ τούτων σκοπῶμεν, οὐδὲν μὲν

χεῖρον ἕξομεν, πολὺ δὲ συντομώτερον διαλεχθησόμεθα περὶ αὐτῶν. Τῶν μὲν οὖν τὰς πατρικὰς βασιλείας παραλαβόντων, τίς οὐκ ἂν τοὺς Εὐαγόρου κινδύνους προκρίνειεν; Οὐδεὶς γάρ ἐστιν οὕτω ῥᾴθυμος, ὅστις ἂν δέξαιτο παρὰ τῶν προγόνων τὴν ἀρχὴν ταύτην παραλαβεῖν μᾶλλον, ἢ κτησάμενος ὁσίως ὥσπερ ἐκεῖνος, τοῖς παισὶ τοῖς ἑαυτοῦ καταλιπεῖν.

Καὶ μὲν τῶν γε παλαιῶν καθόδων αὗται μάλιστα εὐδοκιμοῦσιν, ἃς παρὰ τῶν ποιητῶν ἀκούομεν. Οὗτοι γὰρ οὐ μόνον τῶν γεγενημένων τὰς καλλίστας ἡμῖν ἀπαγγέλλουσιν, ἀλλὰ καὶ παρ' αὑτῶν καινὰ συντιθέασιν· ἀλλ' ὅμως οὐδεὶς αὐτῶν μεμυθολόγηκεν, ὅστις οὕτω δεινοὺς καὶ φοβεροὺς ποιησάμενος κινδύνους εἰς τὴν ἑαυτοῦ κατῆλθεν· ἀλλ' οἱ μὲν πλεῖστοι πεποίηνται διὰ τύχην λαβόντες τὰς βασιλείας, οἱ δὲ μετὰ δόλου καὶ τέχνης περιγενόμενοι τῶν ἐχθρῶν. Ἀλλὰ μὴν τῶν γε ἔπειτα γεγενημένων, ἴσως δὲ καὶ τῶν ἁπάντων, Κῦρον τὸν Μήδων μὲν ἀφελόμενον τὴν ἀρχήν, Πέρσαις δὲ κτησάμενον, οἱ πλεῖστοι καὶ μάλιστα θαυμάζουσιν. Ἀλλ' ὁ μὲν τῷ Περσῶν στρατοπέδῳ τὸ Μήδων ἐνίκησεν· (ὃ πολλοὶ καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων ῥᾳδίως ἂν ποιήσειαν) ὁ δὲ διὰ τῆς ψυχῆς τῆς

Ministerio de Educación, Cultura y Deporte

ἑαυτοῦ καὶ τοῦ σώματος τὰ πλεῖστα φαίνεται τῶν προειρημένων διαπραξάμενος. Ἔπειτα ἐκ μὲν τῆς Κύρου στρατείας οὔπω δῆλον, ὅτι καὶ τοὺς Εὐαγόρου κινδύνους ἂν ὑπέμεινεν· ἐκ δὲ τῶν τούτῳ πεπραγμένων ἅπασι φανερὸν, ὅτι ῥᾳδίως ἂν κἀκείνοις τοῖς ἔργοις ἐπεχείρησε. Πρὸς δὲ τούτοις, τῷ μὲν ὁσίως καὶ δικαίως πέπρακται ἅπαντα, τῷ δὲ οὐκ εὐσεβῶς ἔνια συμβέβηκεν. Ὁ μὲν γὰρ τοὺς ἐχθροὺς ἀπώλεσε, Κῦρος δὲ τὸν πατέρα τῆς μητρὸς ἀπέκτεινεν. Ὥστ' εἴ τινες βούλοιντο μὴ τὸ μέγεθος τῶν συμβάντων, ἀλλὰ τὴν ἀρετὴν ἑκατέρου κρίνειν, δικαίως ἂν Εὐαγόραν καὶ τούτου μᾶλλον ἐπαινέσειαν. Εἰ δὲ δεῖ συντόμως, καὶ μηδὲν ὑποστειλάμενον, μηδὲ δείσαντα τὸν φθόνον, ἀλλὰ παῤῥησίᾳ χρησάμενον εἰπεῖν· οὐδεὶς οὔτε θνητὸς οὔτε ἡμίθεος οὔτε ἀθάνατος εὑρεθήσεται κάλλιον οὐδὲ λαμπρότερον οὐδὲ εὐσεβέστερον λαβὼν ἐκείνου τὴν βασιλείαν.

Καὶ τούτοις ἐκείνως μάλιστ' ἄν τις πιστεύσειεν, εἰ μὴ σφόδρα τοῖς νῦν λεγομένοις ἀπιστήσας ἐξετάζειν ἐπιχειρήσειεν, ὅπως ἕκαστος ἐτυράννησε. Φανήσομαι γὰρ οὐκ ἐκ παντὸς τρόπου μεγάλα λέγειν προθυμούμενος, ἀλλὰ διὰ τὴν τοῦ πράγματος ἀλήθειαν οὕτω περὶ

Ministerio de Educación, Cultura y Deporte

αὐτοῦ θρασέως εἰρηκώς. Εἰ μὲν οὖν ἐπὶ μικροῖς διήνεγκε, τοιούτων ἂν καὶ τῶν λόγων αὐτὸν προσήκον ἦν ἀξιοῦσθαι· νῦν δὲ πάντες ἂν ὁμολογήσαιεν τυραννίδα καὶ τῶν θείων ἀγαθῶν καὶ τῶν ἀνθρωπίνων μέγιστον καὶ σεμνότατον καὶ περιμαχητότατον εἶναι. Τὸν δὴ τὸ κάλλιστον τῶν ὄντων κάλλιστα κτησάμενον, τίς ἂν ἢ ῥήτωρ ἢ ποιητὴς ἢ λόγων εὑρετὴς ἀξίως τῶν πεπραγμένων ἐπαινέσειεν;

20. *Quomodo regnum administrarit. Est autem hoc loco Heroici viri egregia & tanquam Apellis penicillo depicta imago.*

Οὐ τοίνυν ἐν τούτοις ὑπερβαλλόμενος, ἐν τοῖς ἄλλοις εὑρεθήσεται καταδεέστερος γεγονώς. Ἀλλὰ πρῶτον μὲν εὐφυέστατος ἂν τὴν γνώμην, καὶ πλεῖστα κατορθοῦν δυνάμενος, ὅμως οὐκ ᾠήθη δεῖν ὀλιγωρεῖν, οὐδ᾽ αὐτοσχεδιάζειν περὶ τῶν πραγμάτων· ἀλλ᾽ ἐν τῷ ζητεῖν καὶ φροντίζειν καὶ βουλεύεσθαι τὸν πλεῖστον χρόνον διέτριβεν, ἡγούμενος μὲν, εἰ καλῶς τὴν ἑαυτοῦ φρόνησιν παρασκευάσειε, καλῶς αὐτῷ καὶ τὴν βασιλείαν ἕξειν· θαυμάζων δὲ, ὅσοι τῆς μὲν ψυχῆς ἕνεκα, τῶν ἄλλων ποιοῦνται τὴν ἐπιμέλειαν, αὐτῆς δὲ μηδὲν τυγχάνουσι φροντί-

Ministerio de Educación, Cultura y Deporte

ζοντες, ἔπειτα καὶ περὶ τῶν πραγμάτων τὴν αὐτὴν διάνοιαν εἶχεν. Ορῶν γὰρ τοὺς ἄριστα τῶν ὄντων ἐπιμελουμένους ἐλάχιστα λυπουμένους, καὶ τὰς ἀληθινὰς τῶν ῥαθυμιῶν οὐκ ἐν ταῖς ἀργίαις, ἀλλ' ἐν ταῖς εὐπραγίαις καὶ ταῖς καρτερίαις ἐνούσας, οὐδὲν ἀνεξέταστον παρέλιπεν, ἀλλ' οὕτως ἀκριβῶς καὶ τὰς πράξεις ᾔδει, καὶ τῶν πολιτῶν ἕκαστον ἐγίνωσκεν, ὥστε μήτε τοὺς ἐπιβουλεύοντας αὐτῷ φθάνειν, μήτε τοὺς ἐπιεικεῖς ὄντας λανθάνειν, ἀλλὰ πάντας τυγχάνειν τῶν προσηκόντων. Οὐ γὰρ, ἐξ ὧν ἑτέρων ἤκουεν, οὔτε ἐκόλαζεν, οὔτε ἐπετίμα τοῖς πολίταις, ἀλλ' ἐξ ὧν αὐτὸς συνῄδει, τὰς κρίσεις ἐποιεῖτο περὶ αὐτῶν.

Εν ταῖς τοιαύταις δὲ ἐπιμελείαις ἑαυτὸν καταστήσας, οὐδὲ περὶ τῶν κατὰ τὴν ἡμέραν ἑκάστην προσπιπτόντων, οὐδὲ περὶ ἓν πεπλανημένως εἶχεν· ἀλλ' οὕτω θεοφιλῶς καὶ φιλανθρώπως διῴκει τὴν πόλιν, ὥστε τοὺς ἀφικνουμένους μὴ μᾶλλον Εὐαγόραν τῆς ἀρχῆς ζηλοῦν, ἢ τοὺς ἀρχομένους τῆς ὑπ' ἐκείνου βασιλείας. Απαντα γὰρ τὸν χρόνον διετέλεσεν οὐδένα μὲν ἀδικῶν, τοὺς δὲ χρηστοὺς τιμῶν· καὶ σφόδρα μὲν ἁπάντων ἄρχων, νομίμως δὲ τοὺς ἐξαμαρτάνοντας κολάζων· οὐδὲν μὲν συμβούλων δεόμενος,

ὅμως

Ministerio de Educación, Cultura y Deporte

ὅμως δὲ τοῖς φίλοις συμβουλευόμενος· πολλὰ μὲν τῶν ὁμιλούντων ἑταίρων ἡττώμενος, ἅπαντα δὲ τῶν ἐχθρῶν περιγιγνόμενος· σεμνὸς ὢν οὐ ταῖς τοῦ προσώπου συναγωγαῖς, ἀλλὰ ταῖς τοῦ βίου κατασκευαῖς, οὐδὲ πρὸς ἓν ἀτάκτως οὐδὲ ἀνωμάλως διακείμενος, ἀλλ᾽ ὁμοίως τὰς ἐν τοῖς λόγοις ὁμολογίας, ὥσπερ τὰς ἐν τοῖς ὅρκοις, διαφυλάττων· μέγα φρονῶν οὐκ ἐπὶ τοῖς διὰ τύχην, ἀλλ᾽ ἐπὶ τοῖς δι᾽ αὑτὸν γιγνομένοις ἀγαθοῖς· τοὺς μὲν φίλους ταῖς εὐεργεσίαις ὑφ᾽ αὑτῷ ποιούμενος, τοὺς δ᾽ ἄλλους τῇ μεγαλοψυχίᾳ καταδουλούμενος· φοβερὸς ὢν οὐ τῷ πολλοῖς χαλεπαίνειν, ἀλλὰ τῷ πολὺ τὴν φύσιν τῶν ἄλλων ὑπερβάλλειν, ἡγούμενος τῶν ἡδονῶν, ἀλλ᾽ οὐκ ἀγόμενος ὑπ᾽ αὐτῶν, ὀλίγοις πόνοις πολλὰς ῥᾳστώνας κτώμενος, ἀλλ᾽ οὐ διὰ μικρὰς ῥᾳθυμίας μεγάλους πόνους ὑπολειπόμενος· ὅλως δ᾽ οὐδὲν παραλιπὼν, ὧν προσεῖναι τοῖς βασιλεῦσι πρέπει, ἀλλ᾽ ἐξ ἑκάστης πολιτείας ἐκλεγόμενος τὸ βέλτιστον, καὶ δημοτικὸς μὲν ὢν τῇ τοῦ πλήθους θεραπείᾳ, πολιτικὸς δὲ τῇ τῆς πόλεως διοικήσει, στρατηγικὸς δὲ τῇ πρὸς κινδύνους εὐβουλίᾳ, τυραννικὸς δὲ τῷ πᾶσι τούτοις διαφέρειν.



Ministerio de Educación, Cultura y Deporte

Καὶ ταῦθ' ὅτι προσῆν Εὐαγόρᾳ, καὶ πλείω τούτων, ἐξ αὐτῶν τῶν ἔργων ῥᾴδιον καταμαθεῖν. Παραλαβὼν γὰρ τὴν πόλιν ἐκβεβαρβαρωμένην, καὶ διὰ τὴν Φοινίκων ἀρχὴν οὔτε τοὺς Ελληνας προσδεχομένην, οὔτε τέχνας ἐπισταμένην, οὔτ' ἐμπορείῳ χρωμένην, οὔτε λιμένας κεκτημένην, ταῦτα τε πάντα διώρθωσε, καὶ πρὸς τούτοις καὶ χώραν πολλὴν προσεκτήσατο, καὶ τείχη προσπεριεβάλετο, καὶ τριήρεις ἐναυπηγήσατο, καὶ ταῖς ἄλλαις παρασκευαῖς οὕτως ηὔξησε τὴν πόλιν, ὥστε μηδεμιᾶς τῶν Ελληνίδων πόλεων ἀπολελεῖφθαι, καὶ δύναμιν τοσαύτην ἐνεποίησεν, ὥστε φοβεῖσθαι πολλοὺς τῶν πρότερον καταφρονούντων αὐτῆς. Καίτοι τηλικαύτας ἐπιδόσεις τὰς πόλεις λαμβάνειν οὐχ οἷόν τ' ἐστὶν, ἂν μή τις αὐτὰς διοικῇ τοιούτοις ἤθεσιν, οἵοις Εὐαγόρας μὲν εἶχεν, ἐγὼ δὲ ὀλίγῳ πρότερον ἐπειράθην διελθεῖν. Ωστε οὐ δέδοικα, μὴ φανῶ μείζω λέγων τῶν ἐκείνῳ προσόντων, ἀλλὰ μὴ πολὺ λίαν ἀπολειφθῶ τῶν πεπραγμένων αὐτῷ. Τίς γὰρ ἂν ἐφίκοιτο τοιαύτης φύσεως, ὃς οὐ μόνον τὴν αὑτοῦ πόλιν πλείονος ἀξίαν ἐποίησεν, ἀλλὰ καὶ τὸν περιέχοντα τόπον, τὴν νῆσον, ἐπὶ πρᾳότητα καὶ μετριότητα προή-

Ministerio de Educación, Cultura y Deporte

γαγε; Πρὶν μὲν γὰρ λαβεῖν Εὐαγόραν τὴν ἀρχήν, οὕτως ἀπροσοίστως καὶ χαλεπῶς εἶχον, ὥστε καὶ τῶν ἀρχόντων τούτους ἐνόμιζον εἶναι βελτίστους, οἵτινες ἂν ὠμότατα πρὸς τοὺς Ἕλληνας διακείμενοι τυγχάνοιεν· νῦν δὲ τοσοῦτον μεταπεπλώκασιν, ὥσθ᾽ ἁμιλλᾶσθαι μὲν, οἵτινες αὐτῶν δόξουσι φιλέλληνες μᾶλλον εἶναι, παιδοποιεῖσθαι δὲ τοὺς πλείστους αὐτῶν γυναῖκας λαμβάνοντας παρ᾽ ἡμῶν, χαίρειν δὲ καὶ τοῖς κτήμασι, καὶ τοῖς ἐπιτηδεύμασι τοῖς Ἑλληνικοῖς μᾶλλον, ἢ τοῖς παρὰ σφίσιν αὐτοῖς, πλείους δὲ καὶ τῶν περὶ τὴν μουσικὴν καὶ τῶν περὶ τὴν ἄλλην παίδευσιν ἐν τούτοις τοῖς τόποις διατρίβειν, ἢ παρ᾽ οἷς πρότερον εἰωθότες ἦσαν. Καὶ τούτων ἁπάντων οὐδεὶς ὅστις οὐκ ἂν Εὐαγόραν αἴτιον εἶναι ὁμολογήσειεν. Μέγιστον δὲ τεκμήριον ἐστὶ τοῦ τρόπου καὶ τῆς ὁσιότητος τῆς ἐκείνου. Τῶν γὰρ Ἑλλήνων πολλοὶ καὶ καλοὶ καὶ ἀγαθοὶ τὰς ἑαυτῶν πατρίδας ἀπολιπόντες, ἦλθον εἰς Κύπρον οἰκήσοντες, ἡγούμενοι κοινωτέραν εἶναι καὶ νομιμωτέραν τὴν Εὐαγόρου βασιλείαν τῶν οἴκοι πολιτειῶν. Ὧν τοὺς μὲν ἄλλους ὀνομαστὶ διελθεῖν πολὺ ἂν ἔργον εἴη· Κόνωνα δὲ τὸν διὰ πλείστας ἀρετὰς πρωτεύσαντα τῶν Ἑλλήνων, τίς οὐκ οἶδεν ὅτι,



Ministerio de Educación, Cultura y Deporte

δυστυχησάσης τῆς πόλεως, ἐξ ἁπάντων ἐκλεξάμενος ὡς Εὐαγόραν ἦλθε, νομίσας καὶ τῷ σώματι βεβαιοτάτην εἶναι τὴν παρ' ἐκείνου καταφυγὴν, καὶ τῇ πόλει τάχιστα ἂν αὐτὸν γενέσθαι βοηθόν.

## 30. *Quomodo, juvante Evagora, Conon Athenas liberavit.*

Πολλὰ δὲ πρότερον ἤδη κατωρθωκὼς, οὐδὲ περὶ ἑνὸς πώποτε πράγματος ἔδοξεν ἄμεινον, ἢ περὶ τούτων βεβουλεῦσθαι· συνέβη γὰρ αὐτῷ διὰ τὴν ἄφιξιν τὴν εἰς Κύπρον, καὶ ποιῆσαι καὶ παθεῖν πλεῖστα ἀγαθά. Πρῶτον μὲν γὰρ οὐκ ἔφθησαν ἀλλήλοις πλησιάσαντες, καὶ περὶ πλείστου ἐποιήσαντο σφᾶς αὐτοὺς, ἢ τοὺς πρότερον οἰκείους ὄντας· ἔπειτα περί τε τῶν ἄλλων ὁμονοοῦντες ἅπαντα τὸν χρόνον διετέλεσαν, καὶ περὶ τῆς ἡμετέρας πόλεως τὴν αὐτὴν γνώμην ἔχον. Ὁρῶντες γὰρ αὐτὴν ὑπὸ Λακεδαιμονίοις οὖσαν, καὶ μεγάλῃ μεταβολῇ κεχρημένην, λυπηρῶς καὶ βαρέως ἔφερον, ἀμφότεροι προσήκοντα ποιοῦντες. Τῷ μὲν γὰρ ἦν φύσει πατρὶς, τῷ δὲ διὰ πολλὰς καὶ μεγάλας εὐεργεσίας νόμῳ πολίτην ἐπεποίηντο. Σκοπουμένοις δ' αὐτοῖς, ὅπως τῶν συμφο-

Ministerio de Educación, Cultura y Deporte

ρῶν αὐτὴν ἀπαλλάξωσι, ταχὺ τὸν καιρὸν Λακεδαιμόνιοι παρεσκεύασαν· ἄρχοντες γὰρ τῶν Ἑλλήνων καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν εἰς τοῦτ' ἀπληστίας ἦλθον, ὥστε καὶ τὴν Ἀσίαν κακῶς ποιεῖν ἐπεχείρησαν. Λαβόντες δ' ἐκεῖνοι τοῦτον τὸν καιρὸν, καὶ τῶν στρατηγῶν τῶν βασιλέως ἀπορούντων ὅ τι χρήσονται τοῖς παροῦσιν, ἐδίδασκον αὐτοὺς, μὴ κατὰ γῆν, ἀλλὰ κατὰ θάλατταν τὸν πόλεμον τὸν πρὸς Λακεδαιμονίους ποιεῖσθαι· νομίζοντες, εἰ μὲν πεζὸν στρατόπεδον καταστήσαιντο καὶ τούτῳ περιγένοιντο, τὰ περὶ τὴν Ἤπειρον μόνην καλῶς ἕξειν, εἰ δὲ κατὰ θάλατταν κρατήσειαν, πᾶσαν τὴν Ἑλλάδα τῆς νίκης ταύτης μεθέξειν· ὅπερ συνέβη. Πεισθέντων γὰρ ταῦτα τῶν στρατηγῶν καὶ ναυτικοῦ συλλεγέντος, Λακεδαιμόνιοι μὲν κατεναυμαχήθησαν, καὶ τῆς ἀρχῆς ἀπεστερήθησαν, οἱ δ' Ἕλληνες ἠλευθερώθησαν, ἡ δὲ πόλις ἡμῶν τῆς τε παλαιᾶς δόξης μέρος τι πάλιν ἀπέλαβε, καὶ τῶν συμμάχων ἡγεμὼν κατέστη. Καὶ ταῦτ' ἐπράχθη, Κόνωνος μὲν στρατηγοῦντος, Εὐαγόρου δὲ αὐτόν τε παρασχόντος, καὶ τῆς δυνάμεως τὴν πλείστην παρασκευάσαντος· ὑπὲρ ὧν ἡμεῖς μὲν αὐτοὺς ἐτιμήσαμεν ταῖς μεγίσταις τιμαῖς, καὶ τὰς εἰκόνας αὐτῶν ἐστήσαμεν, ὅπερ τὸ τοῦ



Ministerio de Educación, Cultura y Deporte

Διὸς ἄγαλμα τοῦ Σωτῆρος πλησίον ἐκείνου τε καὶ σφῶν αὐτῶν ἀμφοτέρων· ὑπόμνημα καὶ τοῦ μεγέθους τῆς εὐεργεσίας, καὶ τῆς φιλίας τῆς πρὸς ἀλλήλους. Βασιλεὺς δὲ οὐ τὴν αὐτὴν γνώμην ἔχε περὶ αὐτῶν, ἀλλ' ὅσῳ μείζω καὶ πλείονος ἄξια κατειργάσαντο, τοσούτῳ μᾶλλον ἔδεισεν αὐτούς. Περὶ μὲν οὖν Κόνωνος ἄλλος ἡμῖν ἔσται λόγος.

### 4°. *Quomodo contra Persas regnum defenderit.*

Ὅτι δὲ πρὸς Εὐαγόραν οὕτως ἔχεν οὐδ' αὐτὸς λαθεῖν ἐζήτησε. Φαίνεται γὰρ μᾶλλον μὲν σπουδάσας περὶ τὸν ἐν Κύπρῳ πόλεμον, ἢ περὶ τοὺς ἄλλους ἅπαντας, μείζω δὲ καὶ χαλεπώτερον ἐκείνων ἀνταγωνιστὴν νομίσας, ἢ Κῦρον τὸν περὶ τῆς βασιλείας ἀμφισβητήσαντα. Καὶ τούτου μέγιστον τεκμήριον. Τοῦ μὲν γὰρ ἀκούων τὰς παρασκευὰς, τοσοῦτον κατεφρόνησεν, ὥστε διὰ τὸ μὴ φροντίζειν, μικροῦ δεῖν ἔλαθεν αὐτὸν ἐπὶ τὸ βασίλειον ἐπιστάς· πρὸς δὲ τοῦτον οὕτως ἐκ πολλοῦ περιδεῶς ἔχεν, ὥστε μεταξὺ πάσχων εὖ, πολεμεῖν πρὸς αὐτὸν ἐπεχείρησε, δίκαια μὲν οὐ ποιῶν, οὐ μὲν παντάπασιν ἀλόγως βουλευσάμενος· ἠπίστατο μὲν

Ministerio de Educación, Cultura y Deporte

γὰρ πολλοὺς καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων, ἐκ ταπεινῶν καὶ φαύλων πραγμάτων μεγάλας δυναστείας κατεργασαμένους· ᾐσθάνετο δὲ τὴν Εὐαγόρου μεγαλοψυχίαν, καὶ τὰς ἐπιδόσεις αὐτῷ καὶ τὰς δόξας τῶν πραγμάτων οὐ κατὰ μικρὸν γιγνομένας, ἀλλὰ καὶ τὴν φύσιν ἀνυπέρβλητον ἔχοντα, καὶ τὴν τύχην αὐτῷ συναγωνιζομένην, ὥστε οὐχ ὑπὲρ τῶν γεγενημένων ὀργιζόμενος, ἀλλὰ περὶ τῶν μελλόντων φοβούμενος, οὐδὲ περὶ Κύπρου μόνον δεδιώς, ἀλλὰ πολὺ περὶ μειζόνων, ἐποιήσατο τὸν πόλεμον πρὸς αὐτόν. Οὕτω δ' οὖν ὥρμησεν, ὥστε εἰς τὴν στρατιὰν ταύτην πλέον, ἢ πεντάκις μύρια τάλαντα κατηνάλωσεν. Ἀλλ' ὅμως Εὐαγόρας πάσαις ἀπολελειμμένος ταῖς δυνάμεσιν, ἀντιτάξας τὴν ἑαυτοῦ γνώμην πρὸς τὰς οὕτως ὑπερμεγέθεις παρασκευάς, ἐπέδειξεν αὑτὸν ἐν τούτοις πολὺ θαυμαστότερον, ἢ τοῖς ἄλλοις τοῖς προειρημένοις. Ὅτε μὲν γὰρ αὐτὸν εἴων εἰρήνην ἄγειν, τὴν ἑαυτοῦ μόνην πόλιν εἶχεν· ἐπειδὴ δ' ἠναγκάσθη πολεμεῖν, τοιοῦτος ἦν, καὶ τοιοῦτον εἶχε Πρωταγόραν τὸν υἱὸν τὸν ἑαυτοῦ συναγωνιστήν, ὥστε μικροῦ μὲν ἐδέησε Κύπρον ἅπασαν κατασχεῖν· Φοινίκην δὲ ἐπόρθησε, Τύρον δὲ κατὰ κράτος

εἷλε, Κιλικίαν δὲ βασιλέως ἀπέστησε, τοσούτους δὲ τῶν πολεμίων ἀπώλεσεν, ὥστε πολλοὺς τῶν Περσῶν πενθοῦντας τὰς ἑαυτῶν συμφορὰς, μεμνῆσθαι τῆς ἀρετῆς τῆς ἐκείνου, τελευτῶν δ' οὕτως ἐνέπλησεν αὐτοὺς τοῦ πολεμεῖν, ὥστε, εἰθισμένων τὸν ἄλλον χρόνον τῶν βασιλέων, μὴ διαλλάττεσθαι τοῖς ἀποστᾶσι, πρὶν κύριοι γένοιντο τῶν σωμάτων, ἄσμενοι τὴν εἰρήνην ἐποιήσαντο, λύσαντες μὲν τὸν νόμον τοῦτον, οὐδὲν δὲ κινήσαντες τῆς Εὐαγόρου τυραννίδος. Καὶ Λακεδαιμονίων μὲν τὴν καὶ δόξαν καὶ δύναμιν μεγίστην ἐχόντων κατ' ἐκεῖνον τὸν καιρὸν, ἐντὸς τριῶν ἐτῶν ἀφείλετο τὴν ἀρχήν· Εὐαγόρας δὲ πολεμήσας ἔτη δέκα, τῶν αὐτῶν κύριον κατέλιπεν, ὧνπερ ἦν καὶ πρὶν εἰς τὸν πόλεμον εἰσελθεῖν.

Ὃ δὲ πάντων θαυμαστότατον· Τὴν γὰρ πόλιν ἣν Εὐαγόρας, ἑτέρου τυραννοῦντος, μετὰ πεντήκοντα ἀνδρῶν εἷλε, ταύτην βασιλεὺς ὁ μέγας, τοσαύτην δύναμιν ἔχων, οὐχ οἷός τ' ἐγένετο χειρώσασθαι. Καὶ τοι πῶς ἄν τις τὴν ἀνδρείαν, ἢ τὴν φρόνησιν, ἢ σύμπασαν τὴν ἀρετὴν τὴν Εὐαγόρου φανερώτερον ἐπιδείξειεν, ἢ διὰ τοιούτων ἔργων καὶ κινδύνων; Οὐ γὰρ μόνον φανεῖται τοὺς ἄλλους πολέμους, ἀλλὰ καὶ

Ministerio de Educación, Cultura y Deporte

τῶν ἡρώων ὑπερβαλλόμενος, τῶν ὑπὸ πάντων ἀνθρώπων ὑμνουμένων. Οἱ μὲν γὰρ μετὰ πάσης Ἑλλάδος Τροίαν μόνην εἷλον, ὁ δὲ μίαν πόλιν ἔχων πρὸς ἅπασαν τὴν Ἀσίαν ἐπολέμησεν· ὥστ' εἰ τοσοῦτοι τὸ πλῆθος ἐγκωμιάζειν αὐτὸν ἐβουλήθησαν, ὅσοιπερ ἐκείνους, πολὺ μεῖζον ἂν καὶ τὴν δόξαν αὐτῶν ἔλαβε. Τίνα γὰρ ἂν εὑρήσομεν τῶν τότε γενομένων, εἰ τοὺς μύθους νῦν ἀφέντες τὴν ἀλήθειαν σκοπῶμεν, τοιαῦτα διαπεπραγμένον; ἢ τίνα τοσούτων μεταβολῶν ἐν τοῖς πράγμασιν αἴτιον γεγενημένον; ὃς ἑαυτὸν μὲν ἐξ ἰδιώτου τύραννον κατέστησε, τὸ δὲ γένος ἀπεληλαμένον ἅπαν τῆς πολιτείας, εἰς τὰς προσηκούσας τιμὰς πάλιν ἐπανήγαγε, τοὺς δὲ πολίτας ἐκ βαρβάρων μὲν Ἕλληνας ἐποίησεν, ἐξ ἀνάνδρων δὲ πολεμικούς, ἐξ ἀδόξων δὲ ὀνομαστούς, τὸν δὲ τόπον ἄμικτον ὅλον παραλαβὼν καὶ παντάπασιν ἐξηγριωμένον, ἡμερώτερον καὶ πρᾳότερον κατέστησεν· ἔπι δὲ πρὸς τούτοις, εἰς ἔχθραν μὲν βασιλεῖ καταστὰς, οὕτως αὐτὸν ἠμύνατο καλῶς, ὥστε ἀείμνηστον γενέσθαι τὸν πόλεμον τὸν περὶ Κύπρον.

MUSEO ARQUEOLOGICO NACIONAL

Ministerio de Educación, Cultura y Deporte

## 5°. *Quantum utilitatis Persarum & Atheniensum rebus attulerit.*

Οτε δὲ ἦν αὐτῷ σύμμαχος, τοσούτῳ χρησιμώτερον ἑαυτὸν παρέσχε τῶν ἄλλων, ὥσθ' ὁμολογουμένως μεγίστην αὐτῷ συμβαλέσθαι δύναμιν εἰς τὴν ναυμαχίαν τὴν περὶ Κνίδον· ἧς γενομένης, βασιλεὺς μὲν ἁπάσης τῆς Ασίας κύριος κατέστη, Λακεδαιμόνιοι δὲ, ἀντὶ τοῦ τὴν Ηπειρον πορθεῖν, περὶ τῆς ἑαυτῶν κινδυνεύειν ἠναγκάσθησαν, οἱ δὲ Ελληνες, ἀντὶ δουλείας, αὐτονομίαν ἔσχον, Αθηναῖοι δὲ τοσοῦτον ἐπέδοσαν, ὥστε τοὺς πρότερον αὐτῶν ἄρχοντας, ἐλθεῖν ὡς αὐτοὺς τὴν ἀρχὴν παραδώσοντας.

Ωστε εἴ τις ἔροιτό με, τί νομίζω μέγιστον εἶναι τῶν Εὐαγόρᾳ πεπραγμένων, πότερον τὰς ἐπιμελείας καὶ τὰς παρασκευὰς τὰς πρὸς Λακεδαιμονίους, δι' ὧν τὰ προειρημένα γέγονεν, ἢ τὸν τελευταῖον πόλεμον ἢ τὴν κατάληψιν τῆς βασιλείας, ἢ τὴν ὅλην τῶν πραγμάτων διοίκησιν, εἰς πολλὴν ἀπορίαν ἂν καταςαίην. Τοῦτο γάρ μοι δοκεῖ μέγιςον εἶναι καὶ θαυμαςότατον, καθ' ὅ τι ἂν αὐτῶν ἐπιςήσω τὴν γνώμην. Ωστ' εἴ τινες τῶν προγεγενημένων δι' ἀρετὴν ἀθάνατοι γεγόνασιν, οἶμαι

Ministerio de Educación, Cultura y Deporte

κἀκεῖνον ἠξιῶσθαι ταύτης τῆς δωρεᾶς· σημείοις χρώμενος, ὅτι καὶ τὸν ἐνθάδε βίον εὐτυχέστερον καὶ θεοφιλέστερον ἐκείνων διαβεβίωκε. Τῶν μὲν γὰρ ἡμιθέων τοὺς πλείστους καὶ ὀνομαστοτάτους εὑρήσομεν ταῖς μεγίσταις συμφοραῖς περιπεσόντας.

6°. *Quantam cum admirabili virtute conjunctam habuerit felicitatem.*

Εὐαγόρας δὲ οὐ μόνον θαυμαστότατος ἐξ ἀρχῆς ὢν διετέλεσεν, ἀλλὰ καὶ μακαριώτατος. Τί γὰρ ἀπέλιπεν εὐδαιμονίας, ὃς τοιούτων μὲν προγόνων ἔτυχεν, οἵων οὐδεὶς ἄλλος, (πλὴν εἴ τις ἀπὸ τῶν αὐτῶν ἐκείνου γέγονε·) τοσοῦτον δὲ καὶ τῷ σώματι τῶν ἄλλων καὶ τῇ ῥώμῃ διήνεγκεν, ὥστε μὴ μόνον Σαλαμῖνος, ἀλλὰ καὶ τῆς Ἀσίας ἁπάσης ἄξιος εἶναι τυραννεῖν· κάλλιστα δὲ κτησάμενος τὴν βασιλείαν, ἐν ταύτῃ τὸν βίον διετέλεσε· θνητὸς δὲ γενόμενος, ἀθάνατον τὴν περὶ αὑτοῦ μνήμην κατέλιπε· τοσοῦτον δὲ ἐβίω χρόνον, ὥστε μήτε τοῦ γήρως ἄμοιρος γενέσθαι, μήτε τῶν νοσημάτων μετασχεῖν τῶν διὰ ταύτην τὴν ἡλικίαν γινομένων· πρὸς δὲ τούτοις, (ὃ δοκεῖ σπανιώτατον εἶναι καὶ χαλεπώτατον), εὐπαιδίας τυχεῖν ἅμα

Ministerio de Educación, Cultura y Deporte

καὶ πολυπαιδίας, οὐδὲ τούτου διήμαρτεν, ἀλλὰ καὶ τοῦτ' αὐτῷ συνέπεσε· καὶ τὸ μέγιστον, ὅτι τῶν ἐξ αὐτοῦ γενομένων οὐδένα κατέλιπεν ἰδιωτικοῖς ὀνόμασι προσαγορευόμενον, ἀλλὰ τὸν μὲν βασιλέα καλούμενον, τοὺς δ' ἄνακτας, τὰς δ' ἀνάσσας. Ὥστ' εἴ τινες τῶν ποιητῶν περί τινος τῶν προγεγενημένων ὑπερβολαῖς κέχρηνται, λέγοντες ὡς ἦν θεὸς ἐν ἀνθρώποις ἢ δαίμων, ἀλλ' οὐ θνητὸς, ἅπαντα τὰ τοιαῦτα περὶ τὴν ἐκείνου ῥηθῆναι φύσιν μάλιστ' ἂν ἁρμόσειε.

*Epilogos, & adhortatio Nicoclis ad paternæ virtutis imitationem.*

Τῶν μὲν οὖν εἰς Εὐαγόραν πολλὰ μὲν οἴομαι παραλιπεῖν· ὑστερίζω γὰρ τῆς ἀκμῆς τῆς ἐμαυτοῦ, μεθ' ἧς ἀκριβέστερον καὶ φιλοπονώτερον ἐξειργασάμην ἂν τὸν ἔπαινον τοῦτον. Οὐ μὴν ἀλλὰ καὶ νῦν, ὅσον ἦν κατὰ τὴν ἐμὴν δύναμιν, οὐκ ἀνεγκωμίαστός ἐστιν. Ἐγὼ δὲ ὦ Νικόκλεις, ἡγοῦμαι καλὰ μὲν εἶναι μνημεῖα καὶ τὰς τῶν σωμάτων εἰκόνας· πολὺ μέντοι πλείονος ἀξίας τὰς τῶν πράξεων καὶ τῆς διανοίας, ἃς ἐν τοῖς λόγοις ἄν τις μόνον τοῖς τεχνικῶς ἔχουσι θεωρήσειε. Προκρίνω δὲ ταύτας, πρῶτον μὲν εἰδὼς

τοὺς καλοὺς καὶ ἀγαθοὺς τῶν ἀνδρῶν οὐχ οὕτως ἐπὶ τῷ κάλλει τοῦ σώματος σεμνυνομένους, ὡς ἐπὶ τοῖς ἔργοις καὶ τῇ μνήμῃ φιλοτιμουμένους· ἔπειθ᾽ ὅτι τοὺς μὲν τύπους ἀναγκαῖον παρὰ τούτοις εἶναι μόνον παρ᾽ οἷς ἂν σταθῶσι, τοὺς δὲ λόγους ἐξενεχθῆναι οἷόν τ᾽ ἐστὶν εἰς τὴν Ἑλλάδα διαδοθέντας, καὶ ἐν ταῖς τῶν εὖ φρονούντων διατριβαῖς ἀγαπᾶσθαι, παρ᾽ οἷς κρεῖττόν ἐστιν ἢ παρὰ τοῖς ἄλλοις ἅπασιν εὐδοκιμεῖν· πρὸς δὲ τούτοις, ὅτι τοῖς μὲν πεπλασμένοις καὶ τοῖς γεγραμμένοις οὐδεὶς ἂν τὴν τοῦ σώματος φύσιν ὁμοιώσειε, τοὺς δὲ τρόπους τοὺς ἀλλήλων καὶ τὰς διανοίας τὰς ἐν τοῖς λεγομένοις ἐνούσας ἐκ τούτων ῥᾴδιόν ἐστι μιμεῖσθαι τοῖς μὴ ῥαθυμεῖν αἱρουμένοις, ἀλλὰ χρηστοῖς εἶναι βουλομένοις.

Ὧν ἕνεκα καὶ μᾶλλον ἐπεχείρησα γράφειν τοῦτον τὸν λόγον, ἡγούμενος καὶ σοὶ καὶ τοῖς σοῖς παισί, καὶ τοῖς ἄλλοις τοῖς ἀπ᾽ Εὐαγόρου γεγονόσι, πολὺ καλλίστην ἂν γενέσθαι ταύτην τὴν παράκλησιν, εἴ τις ἀθροίσας τὰς ἀρετὰς τὰς ἐκείνου καὶ τῷ λόγῳ κοσμήσας παραδοίη θεωρεῖν ὑμῖν καὶ συνδιατρίβειν αὐταῖς. Τοὺς μὲν γὰρ ἄλλους προτρέπομεν ἐπὶ τὴν φιλοσοφίαν, ἑτέρους ἐπαινοῦντες, ἵνα ζηλοῦντες

Ministerio de Educación, Cultura y Deporte

ἐκ τούτων τοὺς εὐλογουμένους, τῶν αὐτῶν ἐκείνοις ἐπιτηδευμάτων ἐπιθυμῶσιν· ἐγὼ δέ σε καὶ τοὺς σοὺς οὐκ ἀλλοτρίοις παραδείγμασι χρώμενος, ἀλλ' οἰκείοις παρακαλῶ καὶ συμβουλεύω προσέχειν τὸν νοῦν, ὅπως καὶ λέγειν καὶ πράττειν μηδενὸς ἧττον δυνήσῃ τῶν Ελλήνων. Καὶ μὴ νόμιζέ με καταγινώσκειν ὡς νῦν ἀμελεῖς, ὅτι πολλάκις σοι διακελεύομαι περὶ τῶν αὐτῶν· οὐ γὰρ οὔτε ἐμὲ λέληθεν, οὔτε τοὺς ἄλλους, ὅτι καὶ μόνος καὶ πρῶτος τῶν ἐν τυραννίδι καὶ πλούτῳ καὶ τρυφαῖς ὄντων, φιλοσοφεῖν καὶ φιλοπονεῖν ἐπεχείρησας, οὐδ' ὅτι πολλοὺς τῶν βασιλέων ποιήσεις, ζηλώσαντας τὴν σὴν παίδευσιν, τούτων τῶν διατριβῶν ἐπιθυμεῖν, ἀφεμένους ἐφ' οἷς νῦν λίαν χαίρουσιν. Αλλ' ὅμως ἐγὼ ταῦτα εἰδὼς, οὐδὲν ἧττον καὶ ποιῶ καὶ ποιήσω τ' αὐτὸν, ὅπερ ἐν τοῖς γυμνικοῖς ἀγῶσιν οἱ θεαταί. Καὶ γὰρ ἐκεῖνοι παρακελεύονται τῶν δρομέων οὐ τοῖς ἀπολελειμμένοις, ἀλλὰ τοῖς περὶ τῆς νίκης ἀγωνιζομένοις. Εμὸν μὲν οὖν ἐστι, καὶ τῶν ἄλλων φίλων, τοιαῦτα καὶ λέγειν καὶ γράφειν, ἐξ ὧν μέλλομέν σε παροξύνειν ὀρέγεσθαι τούτων, ὧν περ καὶ νῦν τυγχάνεις ἐπιθυμῶν. Σοὶ δὲ προσήκει μηδὲν ἐλλείπειν, ἀλλ' ὥσπερ ἐν τῷ παρόντι καὶ τὸ

ἄλλον χρόνον ἐπιμελεῖσθαι, καὶ τὴν ψυχὴν ἀσκεῖν, ὅπως ἄξιος ἔσῃ καὶ τοῦ πατρὸς καὶ τῶν ἄλλων προγόνων· ὡς ἅπασι μὲν προσήκει περὶ πολλοῦ ποιεῖσθαι τὴν φρόνησιν, μάλιστα δ' ὑμῖν τοῖς πλείστων κυρίοις οὖσι. Χρὴ δ' οὐκ ἀγαπᾷν, εἰ τῶν παρόντων τυγχάνεις ὢν ἤδη κρείττων, ἀλλ' ἀγανακτεῖν, εἰ τοιοῦτος μὲν αὐτὸς ὢν τὴν φύσιν, γεγονὼς δὲ τὸ μὲν παλαιὸν ἀπὸ Διός, τὸ δ' ἐγγυτάτω ἐξ ἀνδρὸς τοιούτου τὴν ἀρετήν, εἰ μὴ πολὺ διοίσεις καὶ τῶν ἄλλων καὶ τῶν ἐν ταῖς αὐταῖς σοι τιμαῖς ὄντων. Εστι δὲ ἐπὶ σοὶ μὴ διαμαρτεῖν τούτων. Εὰν γὰρ ἐμμένῃς τῇ φιλοσοφίᾳ, καὶ τοσοῦτον ἐπιδιδῷς, ὅσον περ νῦν, ταχέως γενέσῃ τοιοῦτος, οἷόν σε προσήκει.

ΤΕΛΟΣ.

Ministerio de Educación, Cultura y Deporte

*On trouve chez le même Libraire différents Traités Grecs qu'il a imprimés depuis peu, même format & même caractere que l'Evangile selon S. Luc.*

Ex Plutarcho Syllæ & Sertorii Vitæ.

— Apophthegmata Regum & Imperatorum.

Isocratis ad Nicoclem de Regno.

— Nicocles de civium erga Regem officio.

— Oratio ad Demonicum.

Ministerio de Educación, Cultura y Deporte

# ΙΣΟΚΡΑΤΟΥΣ ΝΙΚΟΚΛΗΣ,

ΠΕΡΙ' ΤΟΥ~ ΤΩ~Ν ΒΑΣΙΛΕΥΟΜΕ'ΝΩΝ ΚΑΘΗΚΟΝΤΟΣ.

# *ISOCRATIS* NICOCLES,

De Civium erga Regem officio.

*Τῶν παραινετικῶν λόγων τρίτος.*

Admonitoriarum orationum tertia.

*PARISIIS,*

Apud BARBOU, viâ Mathurinensium.

*M. DCC. LXVIII.*

Ministerio de Educación, Cultura y Deporte

Ministerio de Educación, Cultura y Deporte

## ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΝΙΚΟΚΛΕΟΥΣ,

Ὑπὸ Ἱερωνύμου Βολφίου γεγραμμένη.

ΕΝ τῷ μὲν πρὸ τούτου βιβλίῳ, τὸ τῶν βασιλευόντων ἔργον εἴρηται· ἐν τούτῳ δὲ, τὸ τῶν βασιλευομένων καθῆκον διασαφεῖται· περιτέθη δὲ ὁ λόγος Νικοκλεῖ αὐτῷ, εἴτε τοῖς περὶ αὐτὸν καὶ τοῖς μεγιστᾶσιν, εἴτε καὶ τοῖς ἄλλοις τῶν ἀρχομένων ὑπ' αὐτοῦ, παραγγέλλοντι. Ἀρχόμενος μὲν οὖν ὑπεραπολογεῖται τῶν λόγων, ἀλλὰ τοὺς ἀναισθήτους καὶ μισολόγους ἴσως τῶν βασιλικῶν, ὧν τό τε ἀργὸν καὶ τὸ διεστραμμένον τοῦ ἤθους, κἂν τῷ τοῦ πρὸ τούτου ἐπιλόγῳ εὐφυῶς διασύρας ὑπέγραψεν· χωρὶς γὰρ τούτου σοφιστικώτερον ἂν ἢ βασιλικώτερον εἶναι δόξειε τὸ προοίμιον. Εἶτα καὶ ἀποδείκνυσιν, ὅτι μοναρχία πολιτείας εἶδος ἄριστον· εἶτα δὲ, ὅτι τὴν βασιλείαν δικαίως εἴληφὼς, σωφρόνως τε καὶ νουνεχόντως καὶ φιλανθρώπως διοικῶν τυγχάνει. Τῷ κεφαλαίῳ δὲ τούτῳ, εἰς Νικοκλέα μὲν ἀναφερομένῳ, σκοπὸν ἔχει, τοῦ μηδεμίαν τοῖς ἀρχομένοις τοῦ ἀπειθεῖν καὶ ἀνηκουστεῖν λελεῖφθαι πρόφασιν· εἰς Ἰσοκράτην δὲ, τί ἄλλο ἂν εἴη πλὴν εἰρωνευόμενον Νικοκλέους ἐγκώμιον, οὕτω μέν τοι μεταχειρισθὲν, ὥστε μηδαμῶς τοῦτό γε προῃρημένον φαίνεσθαι. Τελευτῶν δὲ προστάττει, τίνα τε πράττειν καὶ τινῶν ἀπέχεσθαι βούλεται τοὺς ὑποτεταγμένους, βραχὺν προσθεὶς ἐπίλογον.



Ministerio de Educación, Cultura y Deporte

# ARGUMENTUM NICOCLIS

*Ab* HIERONYMO WOLFIO *ſcriptum.*

SUPERIORE libro regis officium expoſitum eſt : hìc verò civium munus erga regem deſcribitur ; idque fit ſub ipſius Nicoclis perſona , ſuis aulicis & regni proceribus aut etiam reliquo populo , præcipientis. Primùm autem eloquentiæ defenſio ponitur ; fortaſſe propter craſſos & barbaros aulicos , quorum ignaviam & perverſitatem etiam in præcedentis orationis epilogo perſtrinxit , & eleganter depinxit ; nam alioqui ſophiſtæ quàm regi aptius videri poſſet exordium. Deinde oſtendit præſtantiſſimam reipublicæ formam eſſe monarchiam ; poſtea , ſe regnum juſto titulo poſſidere ; atque id moderatè , prudenter , clementerque adminiſtrare ; quæ duo capita , ſi Nicoclem ſpectes , eò pertinent , ut ne civibus ulla detrectandi imperii cauſa relinquatur ; Iſocratem , quid aliud eſt quàm diſſimulata Nicoclis laudatio , ſic tractata , ut id nullo pacto agere videatur ? Poſtremo loco præcipit quid fieri , quid omitti à ſuis velit , brevi additâ concluſione.

Ministerio de Educación, Cultura y Deporte

Εἰσί τινες, οἳ δυσκόλως ἔχουσι πρὸς τοὺς λόγους, καὶ διαμέμφονται τοὺς φιλοσοφοῦντας· καί φασιν αὐτοὺς οὐκ ἀρετῆς, ἀλλὰ πλεονεξίας ἕνεκα ποιεῖσθαι τὰς τοιαύτας διατριβάς. Ἡδέως ἂν οὖν πυθοίμην τῶν οὕτω διακειμένων, διὰ τί τοὺς μὲν εὖ λέγειν ἐπιθυμοῦντας φεύγουσι, τοὺς δ' ὀρθῶς πράττειν βουλομένους ἐπαινοῦσιν. Εἰ γὰρ αἱ πλεονεξίαι λυποῦσιν αὐτοὺς, πλείους καὶ μείζους ἐκ τῶν ἔργων, ἢ τῶν λόγων εὑρήσομεν γιγνομένας. Ἔπειτα κἀκεῖνο ἄτοπον. εἰ λέληθεν αὐτοὺς, ὅτι τὰ περὶ τοὺς θεοὺς εὐσεβοῦμεν, καὶ τὴν δικαιοσύνην ἀσκοῦμεν, καὶ τὰς ἄλλας ἀρετὰς ἐπιτηδεύομεν, οὐχ ἵνα τῶν ἄλλων ἔλαττον ἔχωμεν, ἀλλ' ὅπως ἂν ὡς μετὰ πλείστων ἀγαθῶν τὸν βίον διάγωμεν. Ὥστε οὐ κατηγορητέον τούτων τῶν πραγμάτων ἐστὶν, δι' ὧν ἄν τις μετ' ἀρετῆς πλεονεκτήσειεν· ἀλλὰ τῶν ἀνθρώπων τῶν περὶ τὰς πράξεις ἐξαμαρτανόντων, ἢ τοῖς λόγοις ἐξαπατώντων, καὶ μὴ δικαίως χρωμένων αὐτοῖς.

Θαυμάζω δὲ τῶν ταύτην τὴν γνώμην ἐχόντων, ὅπως οὐ καὶ τὸν πλοῦτον, καὶ τὴν ῥώμην, καὶ τὴν ἀνδρίαν κακῶς λέγουσιν. Εἴπερ γὰρ διὰ τοὺς ἐξαπατῶντας, καὶ τοὺς ψευδομένους περὶ τοὺς λόγους χα-



Ministerio de Educación, Cultura y Deporte

λεπῶς ἔχουσι, προσήκει καὶ τοῖς ἄλλοις ἀγαθοῖς αὐτοὺς ἐπιτιμᾶν. Φανήσονται γάρ τινες καὶ τῶν ταῦτα κεκτημένων ἐξαμαρτάνοντες, καὶ πολλοὺς διὰ τούτων κακῶς ποιοῦντες. Ἀλλὰ γὰρ οὐ δίκαιον, οὐδ' εἴ τινες τοὺς ἀπαντῶντας τύπτοιεν, τῆς ῥώμης κατηγορεῖν· οὔτε διὰ τοὺς ἀποκτιννύντας, τὴν ἀνδρίαν λοιδορεῖν, οὐδ' ὅλως τὴν τῶν ἀνθρώπων πονηρίαν ἐπὶ τὰ πράγματα μεταφέρειν· ἀλλ' αὐτοὺς ἐκείνους ψέγειν, ὅσοι τοῖς ἀγαθοῖς κακῶς χρῶνται, καὶ τοῖς ὠφελεῖν δυναμένοις, τούτοις βλάπτειν τοὺς συμπολιτευομένους ἐπιχειροῦσι.

Νῦν δ' ἀμελήσαντες τοῦτον τὸν τρόπον περὶ ἑκάστου διορίζεσθαι, πρὸς ἅπαντας τοὺς λόγους δυσκόλως διάκεινται καὶ τοσοῦτον διημαρτήκασιν, ὥστε οὐκ αἰσθάνονται τοιούτῳ πράγματι δυσμενῶς ἔχοντες, ὃ πάντων τῶν ὄντων ἐν τῇ τῶν ἀνθρώπων φύσει πλείστων ἀγαθῶν αἴτιον ἐστι. Τοῖς μὲν γὰρ ἄλλοις, οἷς ἔχομεν, οὐδὲν τῶν ἄλλων ζώων διαφέρομεν, ἀλλὰ πολλῶν καὶ τῷ τάχει, καὶ τῇ ῥώμῃ, καὶ ταῖς ἄλλαις εὐπορίαις καταδεέστεροι τυγχάνομεν ὄντες· ἐγγενομένου δ' ἡμῖν τοῦ πείθειν ἀλλήλους, καὶ δηλοῦν πρὸς ἡμᾶς αὐτοὺς περὶ ὧν ἂν βουληθῶμεν, οὐ μόνον τοῦ θηριωδῶς ζῆν ἀπηλλάγημεν, ἀλλὰ καὶ συνελθόντες πόλεις ᾠκίσαμεν, καὶ νόμους ἐθέμεθα καὶ τέχνας εὕρομεν, καὶ σχεδὸν ἅπαντα τὰ δι' ἡμῶν μεμηχανημένα λόγος ἡμῖν ἐστιν ὁ συγκατασκευάσας. Οὗτος γὰρ καὶ περὶ τῶν δικαίων

Ministerio de Educación, Cultura y Deporte

καὶ περὶ τῶν ἀδίκων, καὶ τῶν αἰσχρῶν καὶ καλῶν ἐνομοθέτησεν· ὧν μὴ διαταχθέντων, οὐκ ἂν οἷοί τε ἦμεν οἰκεῖν μεθ' ἀλλήλων. Τούτῳ καὶ τοὺς κακοὺς ἐξελέγχομεν, καὶ τοὺς ἀγαθοὺς ἐγκωμιάζομεν. Διὰ τούτου τούς τε ἀνοήτους παιδεύομεν, καὶ τοὺς φρονίμους δοκιμάζομεν. Τὸ γὰρ λέγειν ὡς δεῖ, τοῦ φρονεῖν εὖ μέγιστον σημεῖον ποιούμεθα· καὶ λόγος ἀληθὴς, καὶ νόμιμος, καὶ δίκαιος, ψυχῆς ἀγαθῆς καὶ πιστῆς εἴδωλόν ἐστιν. Μετὰ τούτου καὶ περὶ τῶν ἀμφισβητησίμων ἀγωνιζόμεθα, καὶ περὶ τῶν ἀγνοουμένων σκοπούμεθα. Ταῖς γὰρ πίστεσιν αἷς τοὺς ἄλλους λέγοντες πείθομεν, ταῖς αὐταῖς ταύταις καὶ περὶ τῶν ἰδίων βουλευόμενοι χρώμεθα· καὶ ῥητορικοὺς μὲν καλοῦμεν, τοὺς ἐν τῷ πλήθει λέγειν δυναμένους, εὐβούλους δὲ νομίζομεν, οἵτινες ἂν αὐτοὶ πρὸς αὑτοὺς ἄριστα περὶ τῶν πραγμάτων διαλεχθῶσιν.

Εἰ δὲ δεῖ συλλήβδην περὶ τῆς δυνάμεως ταύτης εἰπεῖν, οὐδὲν τῶν φρονίμως πραττομένων εὑρήσομεν ἀλόγως γιγνόμενον, ἀλλὰ καὶ τῶν ἔργων καὶ τῶν διανοημάτων ἁπάντων ἡγεμόνα τὸν λόγον ὄντα, καὶ μάλιστα χρωμένους αὐτῷ τοὺς πλεῖστον νοῦν ἔχοντας· ὥστε τοὺς τολμῶντας βλασφημεῖν περὶ τῶν παιδευόντων καὶ φιλοσοφούντων, ὁμοίως ἄξιον μισεῖν, ὥσπερ τοὺς τὰ τῶν θεῶν ἔδη ἐξαμαρτάνοντας. Ἐγὼ δ' ἀποδέχομαι μὲν πάντας τοὺς λόγους, τοὺς καὶ κατὰ μικρὸν ἡμᾶς ὠφελεῖν δυναμένους· οὐ μὴν ἀλλὰ καὶ καλλίστους ἡγοῦμαι, βασι-



Ministerio de Educación, Cultura y Deporte

λικωτάτους, καὶ μάλιστα πρέποντας ἐμοί, τοὺς περὶ τῶν ἐπιτηδευμάτων καὶ τῶν πολιτειῶν παραινοῦντας· καὶ τούτων αὐτῶν ὅσοι διδάσκουσι τοὺς τε δυναστεύοντας, ὡς δεῖ τῷ πλήθει χρῆσθαι, καὶ τοὺς ἰδιώτας, ὡς χρὴ πρὸς τοὺς ἄρχοντας διακεῖσθαι. Καὶ γὰρ διὰ τούτων ὁρῶ τὰς πόλεις εὐδαιμονεστάτας καὶ μεγίστας γιγνομένας.

Τὸν μὲν οὖν ἕτερον λόγον, ὡς χρὴ τυραννεῖν, Ἰσοκράτους ἠκούσατε· τὸν δ' ἐχόμενον, ἃ δεῖ ποιεῖν τοὺς ἀρχομένους, ἐγὼ πειράσομαι διελθεῖν· οὐχ ὡς ἐκεῖνον ὑπερβαλούμενος, ἀλλ' ὡς προσῆκόν μοι περὶ τούτων μάλιστα διαλεχθῆναι πρὸς ὑμᾶς· εἰ μὲν γὰρ μοῦ μὴ δηλώσαντος ἃ βούλομαι ποιεῖν ὑμᾶς, διαμαρτάνοιτε τῆς ἐμῆς γνώμης, οὐκ ἂν εἰκότως ὑμῖν ὀργιζοίμην· εἰ δὲ προειπόντος ἐμοῦ, μηδὲν γίγνοιτο τοιοῦτον, δικαίως ἂν ἤδη τοῖς μὴ πειθομένοις μεμφοίμην. Ἡγοῦμαι δ' οὕτως ἂν μάλιστα παρακαλέσαι, καὶ προτρέψαι πρὸς τὸ μνημονεύειν ὑμᾶς τὰ ῥηθέντα, καὶ πειθαρχεῖν αὐτοῖς, οὐκ εἰ περὶ τὸ συμβουλεύειν μόνον γενοίμην, καὶ ταῦτ' ἐπαριθμήσας ἀπαλλαγείην· ἀλλ' εἰ προσεπιδείξαιμι πρῶτον μὲν τὴν πολιτείαν τὴν παροῦσαν, ὡς ἄξιόν ἐστιν ἀγαπᾶν, οὐ μόνον διὰ τὴν ἀνάγκην, οὐδ' ὅτι πάντα τὸν χρόνον μετὰ ταύτης οἰκοῦμεν, ἀλλ' ὅτι καὶ βελτίστη τῶν ἄλλων πολιτειῶν ἐστίν· ἔπειτ', ὡς ἐγὼ ταύτην ἔχω τὴν ἀρχὴν οὐ παρανόμως, οὐδ' ἀλλοτρίαν· ἀλλ' ὁσίως, καὶ δικαίως, καὶ διὰ τοὺς

Ministerio de Educación, Cultura y Deporte

ἐξ ἀρχῆς προγόνους, καὶ διὰ τὸν πατέρα καὶ δι' ἐμαυτόν. Τούτων γὰρ προαποδειχθέντων, οὐκ ἔστιν ὅστις οὐκ αὐτὸς αὑτοῦ καταγνώσεται τὴν μεγίστην ζημίαν, ἐὰν μὴ πειθαρχῇ τοῖς ὑπ' ἐμοῦ συμβουλευθεῖσι καὶ προσταχθεῖσι.

Περὶ μὲν οὖν τῶν πολιτειῶν (ἐντεῦθεν γὰρ ὑποθέμενος ἠρξάμην) οἶμαι πᾶσι δοκεῖν δεινότατον μὲν εἶναι τὸ τῶν αὐτῶν ἀξιοῦσθαι τοὺς χρηστοὺς καὶ τοὺς πονηρούς· δικαιότατον δὲ, τὸ διορθώσασθαι περὶ τούτων, καὶ μὴ τοὺς ἀνομοίους τῶν ὁμοίων τυγχάνειν, ἀλλὰ καὶ πράττειν καὶ τιμᾶσθαι κατὰ τὴν ἀξίαν ἑκάστους. Αἱ μὲν τοίνυν ὀλιγαρχίαι καὶ δημοκρατίαι τὰς ἰσότητας τοῖς μετέχουσι τῶν πολιτειῶν ζητοῦσι· καὶ τοῦτο εὐδοκιμεῖ παρ' αὐταῖς, ἐὰν μηδέτερος ἑτέρου δύνηται πλέον ἔχειν· ὃ τοῖς πονηροῖς συμφέρον ἐστίν. Αἱ δὲ μοναρχίαι, πλεῖστον μὲν νέμουσι τῷ βελτίστῳ, δεύτερον δὲ τῷ μετ' ἐκεῖνον, τρίτον δὲ καὶ τέταρτον τοῖς ἄλλοις κατὰ τὸν αὐτὸν λόγον. Καὶ ταῦτα εἰ μὴ πανταχοῦ καθέστηκεν, ἀλλὰ τό γε βούλημα τῆς πολιτείας τοιοῦτόν ἐστιν. Καὶ μὴν εἰ δεῖ διορᾶν καὶ τὰς φύσεις τῶν ἀνθρώπων, καὶ τὰς πράξεις, ἅπαντες ἂν τὰς τυραννίδας μᾶλλον ὁμολογήσαιεν. Καίτοι τίς οὐκ ἂν εὔξαιτο τῶν εὖ φρονούντων τοιαύτης πολιτείας μετέχειν, ἐν ᾗ μὴ διαλήσει χρηστὸς ὤν, μᾶλλον ἢ φέρεσθαι μετὰ τοῦ πλήθους, μὴ γιγνωσκόμενος ὁποῖός τίς ἐστιν. Ἀλλὰ μὴν καὶ πρᾳοτέραν τα-

Ministerio de Educación, Cultura y Deporte

σούτῳ, καὶ δικαιοτέραν δικαίως ἂν αὐτὴν κρίνοιμεν, ὥσπερ ῥᾷόν ἐστιν ἑνὸς ἀνδρὸς γνώμῃ προσέχειν τὸν νοῦν μᾶλλον, ἢ πολλαῖς διανοίαις, καὶ παντοδαπαῖς ζητεῖν ἀρέσκειν. Ὅτι μὲν οὖν ἡδίων ἐστὶ, καὶ πρᾳοτέρα, καὶ δικαιοτέρα, διὰ πλειόνων μὲν ἄν τις ἀποδείξειεν· οὐ μὴν ἀλλὰ καὶ διὰ τούτων συνιδεῖν ῥᾴδιόν ἐστι.

Περὶ δὲ τῶν λοιπῶν, ὅσον αἱ μοναρχίαι, καὶ πρὸς τὸ βουλεύσασθαι, καὶ πρὸς τὸ πρᾶξαί τι τῶν δεόντων, διαφέρουσιν, οὕτως ἂν κάλλιστα θεωρήσαιμεν, εἰ τὰς μεγίστας τῶν πράξεων παρ' ἀλλήλας τιθέντες, ἐξετάζειν ἐπιχειρήσαιμεν αὐτάς. Οἱ μὲν τοίνυν κατ' ἐνιαυτὸν εἰς τὰς ἀρχὰς εσιόντες, πρότερον ἰδιῶται γίγνονται, πρὶν αἰσθέσθαί τι τῶν τῆς πόλεως, καὶ λαβεῖν ἐμπειρίαν αὐτῶν. Οἱ δ' ἀεὶ τοῖς αὐτοῖς ἐπιστατοῦντες, ἢν καὶ τὴν φύσιν καταδεεστέραν ἔχωσιν, ἀλλ' οὖν ταῖς γε ἐμπειρίαις πολὺ τῶν ἄλλων προέχουσιν. Ἔπειτα, οἱ μὲν πολλῶν καταμελοῦσιν, εἰς ἀλλήλους ἀποβλέποντες· οἱ δὲ οὐδενὸς ὀλιγωροῦσιν, εἰδότες ὅτι δεῖ πάντα τὰ δι' αὐτῶν γίγνεσθαι. Πρὸς δὲ τούτοις, οἱ μὲν ἐν ταῖς ὀλιγαρχίαις καὶ ταῖς δημοκρατίαις, διὰ τὰς πρὸς σφᾶς αὐτοὺς φιλοτιμίας λυμαίνονται τοῖς κοινοῖς· οἱ δ' ἐν ταῖς μοναρχίαις ὄντες, οὐκ ἔχοντες ὅτῳ φθονήσουσιν, περὶ ἁπάντων, ὡς οἷόν τ' ἐστὶ, τὰ βέλτιστα πράττουσιν. Ἔπειτα, οἱ μὲν ὑστεροῦσι τῶν πραγμάτων (τὸν μὲν γὰρ πλεῖστον χρόνον ἐπὶ τοῖς

Ministerio de Educación, Cultura y Deporte

ἰδίοις διατρίβουσιν· ἐπειδὰν δὲ εἰς τὰ συνέδρια συνέλθωσιν, πλεονάκις ἄν τις αὐτοὺς εὕροι διαφερομένους, ἢ κοινῇ βουλευομένους) οἱ δ' οὔτε συνεδρίων, οὔτε χρόνων αὐτοῖς ἀποδεδειγμένων, ἀλλὰ καὶ τὰς ἡμέρας καὶ τὰς νύκτας ἐπὶ ταῖς πράξεσιν ὄντες οὐκ ἀπολείπονται τῶν καιρῶν· ἀλλ' ἕκαστον ἐν τῷ δέοντι πράττουσιν. Ἔτι δ' οἱ μὲν πρὸς ἀλλήλους δυσμενῶς ἔχουσι, καὶ βούλοιντ' ἂν καὶ τοὺς πρὸ αὐτῶν ἄρχοντας, καὶ τοὺς ἐφ' ἑαυτῶν, ὡς κάκιστα διοικῆσαι τὴν πόλιν, ἵν' ὡς μεγίστην δόξαν αὐτοὶ λαμβάνωσιν· οἱ δὲ, διὰ παντὸς τοῦ βίου κύριοι τῶν πραγμάτων ὄντες, εἰς πάντα τὸν χρόνον καὶ τὰς εὐνοίας ὁμοίως ἔχουσι. Τὸ δὲ μέγιστον πάντων· τοῖς γὰρ κοινοῖς οἱ μὲν, ὡς ἰδίοις· οἱ δὲ, ὡς ἀλλοτρίοις προσέχουσι τὸν νοῦν, καὶ συμβούλοις χρῶνται περὶ αὐτῶν οἱ μὲν, τῶν ἀστῶν τοῖς τολμηροτάτοις, οἱ δ', ἐξ ἁπάντων ἐκλεξάμενοι τοὺς φρονιμωτάτους· καὶ τιμῶσιν, οἱ μὲν τοὺς ἐν τοῖς ὄχλοις εἰπεῖν δυναμένους, οἱ δὲ τοὺς χρῆσθαι τοῖς πράγμασιν ἐπισταμένους. Οὐ μόνον δ' ἐν τοῖς ἐγκυκλίοις, καὶ τοῖς καθ' ἡμέραν γιγνομένοις, αἱ μοναρχίαι διαφέρουσιν· ἀλλὰ καὶ τὰς ἐν τῷ πολέμῳ πλεονεξίας ἁπάσας περιειλήφασι. Καὶ γὰρ παρασκευάσασθαι δυνάμεις, καὶ χρήσασθαι ταύταις, ὥστε καὶ λαθεῖν, καὶ ὀφθῆναι, καὶ τοὺς μὲν πεῖσαι, τοὺς δὲ βιάσασθαι, παρὰ δὲ τῶν ἐκπρίασθαι, τοὺς δὲ ταῖς ἄλλαις θεραπείαις προσαγαγέσθαι, μᾶλλον αἱ τυραννίδες τῶν ἄλλων πολιτειῶν οἷαί τ' εἰσί.

Ministerio de Educación, Cultura y Deporte

Καὶ ταῦτα ἐκ τῶν ἔργων ἄν τις οὐχ ἧττον ἢ τῶν λόγων
πιστεύσειεν. Τοῦτο μὲν γάρ, τὴν τῶν Περσῶν δύναμιν ἅπαν-
τες ἴσμεν τηλικαύτην τὸ μέγεθος γεγενημένην, οὐ
διὰ τὴν τῶν ἀνδρῶν φρόνησιν, ἀλλ' ὅτι μᾶλλον τῶν ἄλλων
τὴν βασιλείαν τιμῶσι· τοῦτο δέ, Διονύσιον τὸν τύραννον,
ὃς παραλαβὼν τὴν μὲν ἄλλην Σικελίαν ἀνάστατον γε-
γενημένην, τὴν δ' αὑτοῦ πατρίδα πολιορκουμένην, οὐ
μόνον αὐτὴν τῶν παρόντων κινδύνων ἀπήλλαξεν· ἀλλὰ
καὶ μεγίστην τῶν Ἑλληνίδων πόλεων ἐποίησεν· ἔτι δὲ
Καρχηδονίους, καὶ Λακεδαιμονίους, τοὺς ἄριστα τῶν Ἑλ-
λήνων πολιτευομένους, οἴκοι μὲν ὀλιγαρχουμένους, πα-
ρὰ δὲ τὸν πόλεμον βασιλευομένους. Ἔχοι δ' ἄν τις
ἐπιδεῖξαι καὶ τὴν πόλιν τὴν Ἀθηναίων, τὴν μάλιστα τὰς
τυραννίδας μισοῦσαν, ὅταν μὲν πολλοὺς ἐκπέμψῃ
στρατηγούς, ἀτυχοῦσαν, ὅταν δὲ δι' ἑνὸς ποιῆται τοὺς
κινδύνους, κατορθοῦσαν. Καίτοι, πῶς ἄν τις σαφέ-
στερον ἐπιδείξειεν, ἢ διὰ τούτων τῶν παραδειγμάτων,
πλείστου τὰς μοναρχίας ἀξίας οὔσας; φαίνονται γὰρ
οἵτε διὰ τέλους τυραννούμενοι, μεγίστας δυνάμεις
ἔχοντες· οἵτε καλῶς ὀλιγαρχούμενοι, περὶ ἃ μάλιστα
σπουδάζουσι, οἱ μὲν, ἕνα μόνον στρατηγὸν, οἱ δὲ, βασι-
λέα τῶν στρατοπέδων κύριον καθιστάντες· οἵτε μισ-
οῦντες τὰς τυραννίδας, ὁπόταν πολλοὺς ἄρχοντας
ἐκπέμψωσιν, οὐδὲν τῶν δεόντων πράττοντες. Εἰ δὲ δεῖ
τι καὶ τῶν ἀρχαίων εἰπεῖν, λέγεται καὶ τοὺς θεοὺς ὑπὸ

Ministerio de Educación, Cultura y Deporte

τοῦ Διὸς βασιλεύεσθαι. Περὶ ὧν εἰ μὲν ὁ λόγος ἀληθής ἐστιν, δῆλον ὅτι κἀκεῖνοι ταύτην τὴν κατάστασιν προκρίνουσιν· εἰ δὲ τὸ μὲν σαφὲς μηδεὶς οἶδεν, αὐτοὶ δ' εἰκάζοντες οὕτω περὶ αὐτῶν ὑπειλήφαμεν, σημεῖον ὅτι πάντες τὴν μοναρχίαν προτιμῶμεν. Οὐ γὰρ ἄν ποτε αὐτῇ χρῆσθαι τοὺς θεοὺς ἔφαμεν, εἰ μὴ πολὺ τῶν ἄλλων προέχειν αὐτὴν ἐνομίζομεν. Περὶ μὲν οὖν τῶν πολιτειῶν, ὅσον ἀλλήλων διαφέρουσιν, ἅπαντα μὲν οὔθ' εὑρεῖν, οὔτ' εἰπεῖν δυνατόν ἐστιν· οὐ μὴν ἀλλὰ πρός γε τὸ παρὸν ἐξαρκούντως καὶ νῦν εἴρηται περὶ αὐτῶν.

Ὡς δὲ προσηκόντως ἡμεῖς τὴν ἀρχὴν ἔχομεν, πολὺ τούτου συντομώτερος, καὶ μᾶλλον ὁμολογούμενος ὁ λόγος ἐστίν. Τίς γὰρ οὐκ οἶδεν, ὅτι Τεῦκρος μὲν, ὁ τοῦ γένους ἡμῶν ἀρχηγός, παραλαβὼν τοὺς τῶν ἄλλων πολιτῶν προγόνους, πλεύσας δεῦρο, καὶ πόλιν αὐτοῖς ἔκτισεν, καὶ τὴν χώραν διένειμεν; ὁ δὲ πατὴρ Εὐαγόρας, ἀπολεσάντων ἑτέρων τὴν ἀρχὴν, πάλιν ἀνέλαβεν, ὑποστὰς τοὺς μεγίστους κινδύνους· καὶ τοσοῦτον μετέστησεν, ὥστε μηκέτι Φοίνικας Σαλαμινίων τυραννεῖν, ἀλλ' ὧνπερ ἦν τὴν ἀρχὴν, τούτους καὶ νῦν ἔχειν τὴν βασιλείαν; Λοιπὸν οὖν ἐστὶν, ὧν προεθέμην, περὶ ἐμαυτοῦ διελθεῖν· ἵν' ἐπίστησθε ὅτι τοιοῦτός ἐστιν ὑμῶν ὁ βασιλεὺς, ὃς οὐ μόνον διὰ τοὺς προγόνους, ἀλλὰ καὶ δι' ἐμαυτὸν δικαίως ἂν καὶ μείζονος τιμῆς ἢ τηλικαύτης ἀξιωθείην.

Ministerio de Educación, Cultura y Deporte

Οἶμαι γὰρ ἔγωγε πάντας ἂν ὁμολογῆσαι, πλείστου τῶν ἀρετῶν ἀξίας εἶναι τήν γε σωφροσύνην καὶ τὴν δικαιοσύνην. Οὐ γὰρ μόνον ἡμᾶς τὸ καθ᾽ αὐτὰς ὠφελοῦσιν· ἀλλ᾽, εἰ θέλοιμεν σκοπεῖν, καὶ τὰς φύσεις, καὶ τὰς δυνάμεις, καὶ τὰς χρήσεις τῶν πραγμάτων, εὑρήσομεν, τὰς μὲν μετεχούσας μηδαμῶς τούτων τῶν ἰδεῶν, μεγάλων κακῶν αἰτίας οὔσας· τὰς δὲ μετὰ δικαιοσύνης καὶ σωφροσύνης γινομένας, πολλὰ τὸν βίον τῶν ἀνθρώπων ὠφελούσας. Εἰ δέ τινες τῶν προγεγενημένων ἐπὶ ταύταις ταῖς ἀρεταῖς εὐδοκίμησαν, ἡγοῦμαι κἀμοὶ προσήκειν, τῆς αὐτῆς δόξης ἐκείνοις τυγχάνειν.

Τὴν μὲν οὖν δικαιοσύνην ἐκεῖθεν ἂν μάλιστα κατίδοιτε· Παραλαβὼν γάρ, ὅτ᾽ εἰς τὴν ἀρχὴν καθιστάμην, τὰ μὲν βασίλεια χρημάτων κενά, καὶ πάντα κατηναλωμένα· τὰ πράγματα δὲ ταραχῆς μεστά, καὶ πολλῆς ἐπιμελείας δεόμενα, καὶ φυλακῆς, καὶ δαπάνης· εἰδὼς δ᾽, ἑτέρους ἐν τοῖς τοιούτοις καιροῖς ἐκ παντὸς τρόπου τὰ σφέτερ᾽ αὐτῶν διορθουμένους, καὶ πολλὰ παρὰ τὴν φύσιν τὴν αὐτῶν πράττειν ἀναγκαζομένους· ὅμως οὐδ᾽ ὑφ᾽ ἑνὸς τούτων διεφθάρην, ἀλλ᾽ οὕτως ὁσίως καὶ καλῶς ἐπεμελήθην τῶν πραγμάτων, ὥστε μηδὲν ἐλλείπειν, ἐξ ὧν οἷόν τ᾽ ἦν αὐξηθῆναι, καὶ πρὸς εὐδαιμονίαν ἐπιδοῦναι τὴν πόλιν. Πρός τε γὰρ τοὺς πολίτας μετὰ τοσαύτης πρᾳότητος προσηνέχθην, ὥστε μήτε φυγάς, μήτε θα-

Ministerio de Educación, Cultura y Deporte

νάτους, μήτε χρημάτων ἀποβολάς, μήτε ἄλλην μηδεμίαν τοιαύτην συμφορὰν ἐπὶ τῆς ἐμῆς γεγενῆσθαι βασιλείας. Ἀβάτου δ' ἡμῖν τῆς Ἑλλάδος οὔσης διὰ τὸν πόλεμον τὸν γεγενημένον, καὶ πανταχοῦ συλωμένων ἡμῶν, τὰ πλεῖστα τούτων διέλυσα· τοῖς μέν, ἅπαντα ἀποτίνων· τοῖς δέ, μέρη· τῶν δ' ἀναβαλλέσθαι δεόμενος· πρὸς δὲ τούς, ὅπως ἠδυνάμην, περὶ τῶν ἐγκλημάτων διαλλαττόμενος. Ἔτι δέ, καὶ τῶν τὴν νῆσον οἰκούντων δυσκόλως πρὸς ἡμᾶς διακειμένων, καὶ τοῦ βασιλέως τῷ μὲν λόγῳ διηλλαγμένου, τῇ δ' ἀληθείᾳ τραχέως ἔχοντος, ἀμφότερα ταῦτα κατεπράϋνα· τῷ μὲν προθύμως ὑπηρετῶν, πρὸς δὲ τοὺς δίκαιον ἐμαυτὸν παρέχων. Τοσούτου γὰρ δέω τῶν ἀλλοτρίων ἐπιθυμεῖν, ὥσθ' ἕτεροι μέν, ἢν καὶ μικρῷ μείζω τῶν ὁμόρων δύναμιν ἔχωσιν, ἀποτέμνονται τῆς γῆς, καὶ πλεονεκτεῖν ζητοῦσιν· ἐγὼ δ' οὐδὲ τὴν διδομένην μοι χώραν ἠξίωσα λαβεῖν· ἀλλ' αἱροῦμαι μετὰ δικαιοσύνης τὴν ἐμαυτοῦ μόνην ἔχειν μᾶλλον, ἢ μετὰ κακίας πολλαπλασίαν τῆς ὑπαρχούσης κτήσασθαι. Καὶ τί δεῖ καθ' ἕκαστον λέγοντα διατρίβειν, ἄλλως τε καὶ συντόμως ἔχοντα δηλῶσαι περὶ ἐμαυτοῦ; φανήσομαι γὰρ μηδένα μὲν πώποτ' ἀδικήσας, πλείους δὲ καὶ τῶν πολιτῶν καὶ τῶν ἄλλων Ἑλλήνων εὖ πεποιηκώς, καὶ μείζους δωρεὰς ἑκατέροις δεδωκώς, ἢ σύμπαντες οἱ πρὸ ἐμοῦ βασιλεύσαντες. Καίτοι

Ministerio de Educación, Cultura y Deporte

χρὴ τοὺς μέγα φρονοῦντας ἐπὶ δικαιοσύνῃ, καὶ προσποιουμένους χρημάτων εἶναι κρείττους, τοιαύτας ὑπερβολὰς ἔχειν εἰπεῖν περὶ αὐτῶν.

Καὶ μὴν δὴ καὶ περὶ σωφροσύνης ἔτι μείζω τούτων ἔχω διελθεῖν. Εἰδὼς γὰρ ἅπαντας περὶ πλείστου ποιουμένους τοὺς παῖδας τοὺς ἑαυτῶν, καὶ τὰς γυναῖκας, καὶ μάλιστα ὀργιζομένους τοῖς εἰς ταῦτα ἐξαμαρτάνουσι, καὶ τὴν ὕβριν τὴν περὶ ταῦτα μεγίστων κακῶν αἰτίαν γιγνομένην, καὶ πολλοὺς ἤδη τῶν ἰδιωτῶν, καὶ τῶν δυναστευόντων διὰ ταύτην ἀπολλυμένους· οὕτως ἔφυγον τὰς αἰτίας ταύτας, ὥστε ἐξ οὗ τὴν βασιλείαν ἔλαβον, οὐδενὶ φανήσομαι γυναικὶ πεπλησιακὼς, πλὴν τῆς ἐμαυτοῦ, οὐκ ἀγνοῶν, ὡς κἀκεῖνοι παρὰ τοῖς πολλοῖς εὐδοκιμοῦσιν ὅσοι περὶ μὲν τὰ τῶν πολιτῶν δίκαιοι τυγχάνουσιν ὄντες, ἄλλοθεν δὲ πόθεν ἑαυτοῖς ἐπορίσαντο τὰς ἡδονάς· ἀλλὰ βουλόμενος ἅμα μὲν ἐμαυτὸν ὡς πορρωτάτω ποιῆσαι τῶν τοιούτων ὑποψιῶν, ἅμα δὲ παράδειγμα καταστῆσαι τὸν ἐμαυτοῦ βίον τοῖς ἄλλοις πολίταις, γιγνώσκων ὅτι φιλεῖ τὸ πλῆθος ἐν τούτοις τοῖς ἐπιτηδεύμασι τὸν βίον διάγειν, ἐν οἷς ἂν τοὺς ἄρχοντας τοὺς ἑαυτῶν ὁρῶσι διατρίβοντας. Ἔπειτα καὶ προσήκειν ἡγησάμην, τοσούτῳ τοὺς βασιλέας βελτίους εἶναι τῶν ἰδιωτῶν, ὅσωπερ καὶ τὰς τιμὰς μείζους αὐτῶν ἔχουσι· καὶ δεινὰ ποιεῖν, ὅσοι τοὺς μὲν ἄλλους κοσμίως ζῆν ἀναγκάζουσιν, αὐτοὶ δ'



Ministerio de Educación, Cultura y Deporte

αὑτοὺς μὴ σωφρονεστέρους τῶν ἀρχομένων παρέχουσι.

Πρὸς δὲ τούτοις τῶν μὲν ἄλλων πράξεων ἑώρων ἐγκρατεῖς καὶ τοὺς πολλοὺς γιγνομένους· τῶν δὲ ἐπιθυμιῶν τῶν περὶ τὰς γυναῖκας, καὶ τοὺς βελτίστους ἡττωμένους. Ἠβουλήθην οὖν ἐν τούτοις ἐμαυτὸν ἐπιδεῖξαι καρτερεῖν δυνάμενον, ἐν οἷς ἔμελλον οὐ μόνον τῶν ἄλλων διοίσειν, ἀλλὰ καὶ τῶν ἐπ᾽ ἀρετῇ μέγα φρονούντων. Ἔτι δὲ καὶ τῶν τοιούτων πολλὴν κακίαν κατεγίγνωσκον, ὅσοι γυναῖκας λαβόντες, καὶ κοινωνίαν ποιησάμενοι παντὸς τοῦ βίου, μὴ στέργουσιν οἷς ἔπραξαν· ἀλλὰ ταῖς αὐτῶν ἡδοναῖς λυποῦσι ταύτας, ὑφ᾽ ὧν αὐτοὶ μηδὲν ἀξιοῦσι λυπεῖσθαι· καὶ περὶ μὲν ἄλλας κοινωνίας τινὰς ἐπιεικεῖς σφᾶς αὐτοὺς παρέχουσιν, ἐν δὲ ταῖς πρὸς τὰς γυναῖκας ἐξαμαρτάνουσιν· ἃς ἔδει τοσούτῳ μᾶλλον διαφυλάττειν, ὅσῳπερ οἰκειότεραι καὶ μείζους οὖσαι τυγχάνουσι τῶν ἄλλων. Εἶτα καὶ λανθάνουσιν ἔνδον ἐν αὐτοῖς τοῖς βασιλείοις στάσεις καὶ διαφορὰς ἑαυτοῖς ἐγκαταλείποντες· καίτοι χρὴ τοὺς ὀρθῶς βασιλεύοντας, μὴ μόνον τὰς πόλεις ἐν ὁμονοίᾳ πειρᾶσθαι διάγειν, ὧν ἂν ἄρχωσιν, ἀλλὰ καὶ τοὺς ἰδίους οἴκους, καὶ τοὺς τόπους, ἐν οἷς ἂν κατοικῶσιν. Πάντα γὰρ ταῦτα σωφροσύνης ἔργα, καὶ δικαιοσύνης ἐστίν. Οὐ τὴν αὐτὴν γνώμην ἔχον οὐδὲ περὶ τῆς παιδοποιΐας τοῖς πλείστοις τῶν βασιλέων· οὐδ᾽ ᾠήθην δεῖν τοὺς μὲν ἐκ ταπεινοτέρας ποιήσασθαι τῶν παίδων,



Ministerio de Educación, Cultura y Deporte

τοὺς δ' ἐκ σεμνοτέρας· οὐδὲ τοὺς μὲν νόθους αὐτῶν, τοὺς δὲ γνησίους καταλιπεῖν, ἀλλὰ πάντας ἔχειν τὴν αὐτὴν φύσιν, καὶ πρὸς πατρὸς, καὶ πρὸς μητρὸς ἀνενεγκεῖν· τῶν μὲν θνητῶν εἰς Εὐαγόραν τὸν πατέρα τὸν ἐμόν· τῶν δ' ἡμιθέων, εἰς Αἰακίδας· τῶν δὲ θεῶν, εἰς Δία· καὶ μηδένα τῶν ἐξ ἐμοῦ γενομένων ἀποστερηθῆναι ταύτης τῆς εὐγεννίας.

Πολλῶν δέ με προτρεπόντων ἐμμένειν τοῖς ἐπιτηδεύμασι τούτοις, οὐχ ἥκιστά με κἀκεῖνο παρεκάλεσεν· ὅτι τῆς μὲν ἀνδρίας καὶ τῆς δεινότητος, καὶ τῶν ἄλλων τῶν εὐδοκιμούντων, ἑώρων καὶ τῶν κακῶν ἀνδρῶν πολλοὺς μετέχοντας· τὴν δὲ σωφροσύνην, καὶ τὴν δικαιοσύνην ἴδια κτήματα τῶν καλῶν κἀγαθῶν ὄντα. Κάλλιστον οὖν ὑπέλαβον, εἴ τις δύναιτο ταύταις ταῖς ἀρεταῖς προσέχειν τὸν νοῦν, τῶν ἄλλων ἀφελόμενος, ὧν μηδὲν μέρος τοῖς πονηροῖς μέτεστιν, ἀλλὰ καὶ γνησιώταται, καὶ βεβαιόταται, καὶ μέγισται, καὶ μεγίστων ἐπαίνων ἄξιαι τυγχάνουσιν οὖσαι. Τούτων ἕνεκα ταῦτα διανοηθεὶς, περιττότερον τῶν ἄλλων ἤσκησα τὴν σωφροσύνην, καὶ τὴν δικαιοσύνην, καὶ ταύτας προειλόμην τῶν ἡδονῶν, οὐ ταῖς ἐπὶ τοῖς ἔργοις μηδεμίαν τιμὴν ἐχούσας, ἀλλὰ ταῖς ἐπὶ ταῖς δόξαις ταῖς δι' ἀνδραγαθίαν γινομένας. Χρὴ δὲ δοκιμάζειν τὰς ἀρετὰς οὐκ ἐν ταῖς αὐταῖς ἰδέαις ἁπάσας, ἀλλὰ τὴν μὲν δικαιοσύνην, ἐν ταῖς ἀπορίαις· τὴν δὲ σωφροσύνην, ἐν ταῖς

Ministerio de Educación, Cultura y Deporte

δυναστείαις· τὴν δὲ καρτερίαν, ἐν ταῖς τῶν νεωτέρων ἡλικίαις. Ἐγὼ τοίνυν ἐν ἅπασι τοῖς καιροῖς τούτοις φανήσομαι πεῖραν τῆς ἐμαυτοῦ φύσεως δεδωκώς. Ἐνδεὴς μὲν γὰρ χρημάτων καταλειφθεὶς, οὕτω δίκαιον ἐμαυτὸν παρέσχον, ὥστε μηδένα λυπῆσαι τῶν πολιτῶν, λαβὼν δ᾽ ἐξουσίαν ὥστε ποιεῖν ὅ, τι ἂν βούλωμαι, σωφρονέστερος τῶν ἰδιωτῶν ἐγενόμην· τούτων δ᾽ ἀμφοτέρων ἐκράτησα, ταύτην ἔχων τὴν ἡλικίαν, ἐν ᾗ τοὺς πλείστους ἂν εὕροιμεν μάλιστα περὶ τὰς πράξεις ἐξαμαρτάνοντας. Καὶ πάντα ταῦτα ἐν ἑτέροις μὲν ἴσως ἂν ὤκνουν εἰπεῖν· οὐχ ὡς οὐ φιλοτιμούμενος ἐπὶ τοῖς πεπραγμένοις, ἀλλ᾽ ὡς οὐκ ἂν πιστευθεὶς ἐκ τῶν λεγομένων. Ὑμεῖς δ᾽ αὐτοί μοι μάρτυρές ἐστε πάντων τῶν εἰρημένων. Ἄξιον μὲν οὖν τοὺς φύσει κοσμίους ὄντας ἐπαινεῖν, καὶ θαυμάζειν· ἔτι δὲ μᾶλλον τοὺς καὶ μετὰ λογισμοῦ τοιούτους ὄντας. Οἱ μὲν γὰρ τύχῃ, καὶ μὴ γνώμῃ σωφρονοῦντες, τυχὸν ἂν καὶ μεταπεισθεῖεν· οἱ δὲ πρὸς τῷ πεφυκέναι, καὶ διεγνωκότες ὅτι μέγιστόν ἐστι τῶν ἀγαθῶν ἀρετὴ, δῆλον ὅτι πάντα τὸν βίον ἐν ταύτῃ τάξει διαμενοῦσι.

Διὰ τοῦτο δὲ πλείους ἐποιησάμην τοὺς λόγους καὶ περὶ ἐμαυτοῦ, καὶ περὶ τῶν ἄλλων τῶν προειρημένων· ἵνα μηδεμίαν ὑπολίπω πρόφασιν, ὡς οὐ δεῖ ποιεῖν ὑμᾶς ἑκόντας καὶ προθύμως, ἅττ᾽ ἂν ἐγὼ προστάξω καὶ συμβουλεύσω. Φημὶ δὴ πράττειν ἕκαστον ὑμῶν,



Ministerio de Educación, Cultura y Deporte

ἐφ' οἷς ἐφέστηκεν, ἐπιμελῶς καὶ δικαίως· καθ' ὁπότερον γὰρ ἂν ἐλλίπητέ τι τούτων, ἀνάγκη ταύτῃ κακῶς ἔχειν τὰς πράξεις. Μηδενὸς οὖν ὀλιγωρεῖτε, μηδὲ καταφρονεῖτε τῶν προστεταγμένων· ὑπολαμβάνοντες, ὡς οὐ παρὰ ταῦτ' ἐστίν· ἀλλ' ὡς παρ' ἕκαστον τῶν μερῶν ἢ καλῶς ἢ κακῶς ἕξον τὸ σύμπαν, οὕτω σπουδάζετε περὶ αὐτῶν, καὶ κήδεσθε μηδὲν ἧττον τῶν ἐμῶν ἢ τῶν ὑμετέρων αὐτῶν. Καὶ μὴ νομίζετε μικρὸν ἀγαθὸν εἶναι τὰς τιμὰς ἃς ἔχουσιν οἱ καλῶς τῶν ἡμετέρων ἐπιστατοῦντες. Ἀπέχεσθε τῶν ἀλλοτρίων, ἵνα ἀσφαλέστερον τοὺς οἴκους τοὺς ὑμετέρους αὐτῶν κεκτῆσθε. Τοιούτους εἶναι χρὴ περὶ τοὺς ἄλλους ὑμᾶς, οἷόνπερ ἐμὲ περὶ ὑμᾶς ἀξιοῦτε γίνεσθαι. Μὴ σπεύδετε πλουτεῖν μᾶλλον ἢ χρηστοὶ δοκεῖν εἶναι· γινώσκοντες ὅτι καὶ τῶν Ἑλλήνων, καὶ τῶν βαρβάρων οἱ μεγίστας ἐπ' ἀρετῇ δόξας ἔχοντες, πλείστων ἀγαθῶν δεσπόται καθίστανται. Τοὺς χρηματισμοὺς, τοὺς παρὰ τὸ δίκαιον γινομένους, ἡγεῖσθε μὴ πλοῦτον, ἀλλὰ κίνδυνον ποιήσειν. Μὴ τὸ μὲν λαβεῖν κέρδος εἶναι νομίζετε· τὸ δ' ἀναλῶσαι, ζημίαν. Οὐδέτερον γὰρ τούτων ἀεὶ τὴν αὐτὴν ἔχει δύναμιν· ἀλλ' ὁπότερον ἂν ἐν καιρῷ καὶ μετ' ἀρετῆς γίνηται, τοῦτ' ὠφελήσει τοὺς ποιοῦντας.

Μηδὲ πρὸς ἓν χαλεπῶς ἔχετε τῶν ὑπ' ἐμοῦ προσταττομένων. Ὅσοι γὰρ ἂν ὑμῶν περὶ πλεῖστα τῶν

ἐμὲ χρησίμους αὐτοὺς παρέχωσιν, οὗτοι πλεῖστα τοὺς οἴκους τοὺς ἑαυτῶν ὠφελήσουσιν. Ὅ, τι ἂν ὑμῶν ἕκαστος αὐτὸς αὐτῷ τύχει συνειδὼς, ἡγείσθω μηδὲ ἐμὲ λήσειν· ἀλλ' ἐὰν καὶ τὸ σῶμα τοὐμὸν μὴ παρῇ, τήν γε διάνοιαν τὴν ἐμὴν οἰέσθω τοῖς γινομένοις παρεστάναι. Ταύτην γὰρ τὴν γνώμην ἔχοντες, σωφρονέστερον ἂν βουλεύσεσθε περὶ αὐτῶν. Μηδὲν ἀποκρύπτεσθε, μήθ' ἃν κέκτησθε, μήθ' ὧν ποιεῖτε, μήθ' ὧν μέλλετε πράττειν· εἰδότες, ὅτι περὶ τὰ κεκρυμμένα τῶν πραγμάτων ἀναγκαῖον ἐστὶ πολλοὺς φόβους γίνεσθαι. Μὴ τεχνικῶς ζητεῖτε πολιτεύεσθαι, μηδ' ἀφανῶς· ἀλλ' οὕτως ἁπλῶς καὶ φανερῶς, ὥστε μηδ' ἄν τις βούληται, ῥᾴδιον εἶναι ὑμᾶς διαβάλλειν. Δοκιμάζετε τὰς πράξεις· καὶ νομίζετε πονηρὰς μὲν, ἃς ἂν πράττοντες ἐμὲ βούλησθε λανθάνειν· χρηστὰς δὲ, περὶ ὧν ἂν ἐγὼ μέλλω πυθόμενος βελτίους ὑμᾶς νομιεῖν. Μὴ κατασιωπᾶτε, ἐάν τινας ὁρᾶτε περὶ τὴν ἀρχὴν τὴν ἐμὴν πονηροὺς ὄντας, ἀλλ' ἐξελέγχετε καὶ νομίζετε τῆς αὐτῆς εἶναι ζημίας ἀξίους τοὺς συγκρύπτοντας τοῖς ἐξαμαρτάνουσιν. Εὐτυχεῖς δὲ νομίζετε μὴ τοὺς λανθάνοντας, ἐάν τι κακὸν ποιήσωσιν, ἀλλὰ τοὺς μηδὲν ἐξαμαρτάνοντας. Τοὺς μὲν γὰρ εἰκὸς τοιαῦτα παθεῖν, οἷα περ αὐτοὶ ποιοῦσι, τοὺς δὲ χάριν ἀπολαβεῖν, οἷς ἄξιοι τυγχάνουσιν ὄντες. Εταιρείας μὴ ποιεῖτε, μήτε συνόδους, ἄνευ τῆς ἐμῆς γνώμης. Αἱ γὰρ τοιαῦται συστάσεις

ἐν μὲν ταῖς ἄλλαις πολιτείαις πλεονεκτοῦσιν· ἐν δὲ ταῖς μοναρχίαις κινδυνεύουσιν. Μὴ μόνον ἀπέχεσθε τῶν ἁμαρτημάτων, ἀλλὰ καὶ τῶν ἐπιτηδευμάτων τῶν τοιούτων, ἐν οἷς ἀναγκαῖόν ἐστιν ὑποψίαν γίνεσθαι. Τὴν ἐμὴν φιλίαν ἀσφαλεστάτην, καὶ βεβαιοτάτην εἶναι νομίζετε καὶ διαφυλάττετε τὴν παροῦσαν κατάστασιν, καὶ μηδεμιᾶς ἐπιθυμεῖτε μεταβολῆς· εἰδότες, ὅτι διὰ τὰς τοιαύτας ταραχὰς ἀναγκαῖόν ἐστι καὶ τὰς πόλεις ἀπόλλυσθαι, καὶ τοὺς οἴκους τοὺς ἰδίους ἀναστάτους γίγνεσθαι. Μὴ μόνον τὰς φύσεις αἰτίας νομίζετε τοῦ χαλεποὺς ἢ πράους εἶναι τοὺς τυράννους, ἀλλὰ καὶ τὸν τρόπον τῶν πολιτῶν. Πολλοὶ γὰρ ἤδη διὰ τὴν τῶν ἀρχομένων κακίαν τραχύτερον, ἢ κατὰ τὴν ἑαυτῶν γνώμην, ἄρχειν ἠναγκάσθησαν. Θαῤῥεῖτε μὴ διὰ τὴν ἐμὴν μᾶλλον πρᾳότητα, ἢ διὰ τὴν ὑμετέραν αὐτῶν ἀρετήν. Τὴν ἐμὴν ἀσφάλειαν, ἄδειαν αὑτοῖς εἶναι νομίζετε. Καλῶς γὰρ τῶν περὶ ἐμὲ καθεστώτων, τὸν αὐτὸν τρόπον καὶ τὰ περὶ ὑμᾶς αὐτοὺς ἕξει. Ταπεινοὺς μὲν εἶναι χρὴ πρὸς τὴν ἀρχὴν τὴν ἐμὴν, ἐμμένοντας τοῖς ἤθεσι, καὶ διαφυλάττοντας τοὺς νόμους τοὺς βασιλικούς· λαμπροὺς δ᾽ ἔν τε ταῖς ὑπὲρ τῆς πόλεως λειτουργίαις, καὶ τοῖς ὑπ᾽ ἐμοῦ προσταττομένοις.

Προτρέπετε τοὺς νεωτέρους ἐπ᾽ ἀρετὴν, μὴ μόνον παραινοῦντες, ἀλλὰ καὶ περὶ τὰς πράξεις ὑποδει-

νοῦντες αὐτοῖς, ὁποίους εἶναι χρὴ τοὺς ἄνδρας τοὺς ἀγαθούς. Διδάσκετε τοὺς παῖδας τοὺς ὑμετέρους αὐτῶν βασιλεύεσθαι, καὶ περὶ τὴν παίδευσιν τῆς τοιαύτης ἀρετῆς ἐθίζετε αὐτοὺς ὡς μάλιστα διατρίβειν. Ἐὰν γὰρ ἄρχεσθαι μάθωσι, πολλῷ μᾶλλον ἄρχειν δυνήσονται· καὶ πιστοὶ μὲν ὄντες, καὶ δίκαιοι, μεθέξουσι τῶν ἡμετέρων ἀγαθῶν· κακοὶ δὲ γενόμενοι, κινδυνεύσουσι περὶ τῶν ὑπαρχόντων. Μέγιστον ἡγεῖσθε τοῖς παισὶ καὶ βεβαιότατον πλοῦτον παραδώσειν, ἐὰν αὐτοῖς δύνησθε τὴν ἡμετέραν εὔνοιαν καταλιπεῖν. Ἀθλιωτάτους ἡγεῖσθε καὶ δυστυχεστάτους, ὅσοι περὶ τοὺς πιστεύσαντας ἄπιστοι γεγόνασιν. Ἀνάγκη γὰρ τοὺς τοιούτους ἀθύμως ἔχοντας, καὶ φοβουμένους ἅπαντας, καὶ μηδὲν μᾶλλον πιστεύοντας τοῖς φίλοις ἢ τοῖς ἐχθροῖς, τὸν ἐπίλοιπον χρόνον διάγειν. Ζηλοῦτε μὴ τοὺς πλεῖστα κεκτημένους, ἀλλὰ τοὺς μηδὲν κακὸν σφίσιν αὐτοῖς συνειδότας. Μετὰ γὰρ τοιαύτης τύχης ἥδιον ἄν τις τὸν βίον δύναιτο διάγειν. Μὴ τὴν κακίαν δύνασθαι μὲν πλέον τῆς ἀρετῆς ὠφελεῖν νομίζετε, τὸ δ' ὄνομα δυσχερέστερον ἔχειν· ἀλλ' οἵων περ ὀνομάτων ἕκαστα τῶν πραγμάτων τετύχηκε, τοιαύτας ἡγεῖσθε καὶ τὰς δυνάμεις αὐτῶν εἶναι. Μὴ φθονεῖτε τοῖς παρ' ἐμοῦ πρωτεύουσιν· ἀλλ' ἁμιλλᾶσθε, καὶ πειρᾶσθε χρηστοὺς ὑμᾶς αὐτοὺς παρέχοντας ἐξισοῦσθαι τοῖς προέχουσι. Φιλεῖν οἴεσθε δεῖν, καὶ τιμᾶν, οὕσπερ ἂν καὶ ὁ βασιλεύς·

Ministerio de Educación, Cultura y Deporte

ἵνα καὶ παρ' ἐμοῦ τυγχάνητε τῶν αὐτῶν τούτων. Οἷά περ παρόντος ἐμοῦ λέγετε, τοιαῦτα καὶ ἀπόντος φρονεῖτε. Τὴν εὔνοιαν τὴν πρὸς ἡμᾶς ἐν τοῖς ἔργοις ἐνδείκνυσθε μᾶλλον ἢ τοῖς λόγοις. Ἃ πάσχοντες ὑφ' ἑτέρων ὀργίζεσθε, ταῦτα τοῖς ἄλλοις μὴ ποιεῖτε. Περὶ ὧν ἂν ἐν τοῖς λόγοις κατηγορῆτε, μηδὲν τούτων ἐν τοῖς ἔργοις ἐπιτηδεύετε. Τοιαῦτα προσδοκᾶτε πράξειν, οἷα ἂν περὶ ἡμῶν διανοεῖσθε. Μὴ μόνον ἐπαινεῖτε τοὺς ἀγαθούς, ἀλλὰ καὶ μιμεῖσθε. Τοὺς λόγους τοὺς ἐμούς, νόμους εἶναι νομίζετε· καὶ πειρᾶσθε τούτοις ἐμμένειν, εἰδότες, ὅτι τοῖς μάλιστα ποιοῦσιν ὑμῶν ἃ βούλομαι, τούτοις ἐξέσται ζῆν, ὡς αὐτοὶ βούλονται.

Κεφάλαιον δὲ τῶν εἰρημένων· οἵους περ ἂν τοὺς ὑφ' ὑμῶν ἀρχομένους οἴεσθε δεῖν περὶ ὑμᾶς εἶναι, τοιούτους χρὴ περὶ τὴν ἀρχὴν τὴν ἐμὴν ὑμᾶς γίγνεσθαι. Καὶ ταῦτ' ἐὰν ποιῆτε, τί δεῖ περὶ τῶν συμβησομένων μακρολογεῖν; ἢν γὰρ ἐγώ τε παρέχω τοιοῦτον ἐμαυτόν, οἷόν περ ἐν τῷ παρελθόντι χρόνῳ, καὶ τὰ παρ' ὑμῶν ὁμοίως ὑπηρετῆται, ταχέως ὄψεσθε καὶ τὸν βίον τὸν ὑμέτερον αὐτῶν ἐπιδεδωκότα, καὶ τὴν ἀρχὴν τὴν ἐμὴν ηὐξημένην, καὶ τὴν πόλιν εὐδαίμονα γεγενημένην. Ἄξιον μὲν οὖν τηλικούτων ἀγαθῶν ἕνεκα μηδὲν ἐλλείπειν, ἀλλὰ καὶ πόνους, καὶ κινδύνους οὕστινας οὖν ὑπενεγκεῖν. Ὑμῖν δ' ἔξεστι, μηδὲν ταλαιπωρηθεῖσιν, ἀλλὰ πιστοῖς μόνον καὶ δικαίοις οὖσιν, ἅπαντα ταῦτα διαπράξασθαι.

ΤΕΛΟΣ.

Ministerio de Educación, Cultura y Deporte

Apud H. Barbou, viâ Mathurinensium. 1803.

# ΠΛΟΥΤΑΡΧΟΥ

## ΚΙΚΕΡΩΝ.

ΚΙΚΕΡΩΝΟΣ δὲ τὴν μὲν μητέρα λέγουσιν Ὀλβίαν καὶ γεγονέναι καὶ καλῶς βεβιωκέναι. περὶ δὲ τοῦ πατρὸς οὐδὲν ἦν πυθέσθαι μέτριον. οἱ μὲν γὰρ ἐν κναφείῳ τινὶ καὶ γενέσθαι καὶ τραφῆναι τὸν ἄνδρα λέγουσιν· οἱ δ' εἰς Τύλλιον Ἄππιον ἀνάγουσι τὴν ἀρχὴν τοῦ γένους, βασιλεύσαντα λαμπρῶς ἐν Οὐολούσκοις. ὁ μέντοι πρῶτος ἐκ τοῦ γένους Κικέρων ἐπονομασθείς, ἄξιος λόγου δοκεῖ γενέσθαι. διὸ τὴν ἐπίκλησιν οὐκ ἀπέρριψαν οἱ μετ' αὐτόν, ἀλλ' ἠσπάσαντο, καίπερ ὑπὸ πολλῶν χλευαζομένην· κίκερ γὰρ οἱ Λατῖνοι τὸν ἐρέβινθον καλοῦσι. κἀκεῖνος ἐν τῷ πέρατι τῆς ῥινός, διαστολὴν ἀμβλεῖαν εἶχεν, ὥσπερ ἐρεβίνθου διαφυήν, ἀφ' ἧς ἐκτήσατο τὴν ἐπωνυμίαν.

Αὐτός γε μὴν Κικέρων, ὑπὲρ οὗ τάδε γέγραπται, τῶν φίλων αὐτὸν οἰομένων δεῖν, ὅτε πρῶτον ἀρχὴν μετῄει καὶ πολιτείας ἥπτετο, φυγεῖν τοὔνομα καὶ μεταθέσθαι, λέγεται νεανιευσάμενος εἰπεῖν, ὡς ἀγωνιεῖται τὸν Κικέρωνα τῶν Σκαύρων καὶ τῶν



Ministerio de Educación, Cultura y Deporte

Κάτλων ἐνδοξότερον ἀποδεῖξαι. ταμιεύων δ᾽ ἐν Σικελίᾳ, καὶ τοῖς θεοῖς ἀνάθημα ποιούμενος ἀργυροῦν, τὰ μὲν πρῶτα τῶν δύο ὀνομάτων ἐπέγραψε, τόν τε Μάρκον καὶ τὸν Τύλλιον, ἀντὶ δὲ τοῦ τρίτου σκώπτων, ἐρέβινθον ἐκέλευσε παρὰ τὰ γράμματα τὸν τεχνίτην ἐντορεῦσαι. ταῦτα μὲν οὖν περὶ τοῦ ὀνόματος ἱστόρηται.

Τεχθῆναι δὲ Κικέρωνα λέγουσιν, ἀνωδύνως καὶ ἀπόνως λοχευθείσης αὐτοῦ τῆς μητρὸς, ἡμέρα τῇ τῶν νέων καλανδῶν ἐν ᾗ νῦν οἱ ἄρχοντες εὔχονται καὶ θύουσιν ὑπὲρ τοῦ ἡγεμόνος. τῇ δὲ τίτθῃ φάσμα δοκεῖ γενέσθαι, καὶ προειπεῖν ὡς ὄφελος μέγα πᾶσι Ῥωμαίοις ἐκτρέφουσῃ. ταῦτα δ᾽ ἄλλως ὀνείρατα καὶ φλύαρον εἶναι δοκοῦντα, ταχέως αὐτὸς ἀπέδειξε μαντείαν ἀληθινὴν, ἐν ἡλικίᾳ τοῦ μανθάνειν γενόμενος, δι᾽ εὐφυΐαν ἐκλάμψας, καὶ λαβὼν ὄνομα καὶ δόξαν ἐν τοῖς παισὶν, ὥστε τοὺς πατέρας αὐτῶν ἐπιφοιτᾷν τοῖς διδασκαλείοις, ὄψει τε βουλομένους ἰδεῖν τὸν Κικέρωνα, καὶ τὴν ὑμνουμένην αὐτοῦ περὶ τὰς μαθήσεις ὀξύτητα καὶ σύνεσιν ἱστορῆσαι· τοὺς δ᾽ ἀγροικοτέρους ὀργίζεσθαι τοῖς υἱέσιν, ὁρῶντας ἐν ταῖς ὁδοῖς τὸν Κικέρωνα μέσον αὐτῶν ἐπὶ τιμῇ λαμβάνοντας.

Γενόμενος δ᾽, ὥσπερ ὁ Πλάτων ἀξιοῖ τὴν φιλομαθῆ καὶ φιλόσοφον φύσιν, οἷος ἀσπάζεσθαι

πᾶν μάθημα, καὶ μηδὲν λόγου μηδὲ παιδείας ἀτιμάζειν εἶδος, ἐρρύη πως προθυμότερον ἐπὶ ποιητικήν. καί τι ποιημάτιον ἔτι παιδὸς αὐτοῦ διασώζεται, Πόντιος Γλαῦκος, ἐν τετραμέτρῳ πεποιημένον· προϊὼν δὲ τῷ χρόνῳ, καὶ ποικιλώτερον ἁπτόμενος τῆς περὶ ταῦτα μούσης, ἔδοξεν οὐ μόνον ῥήτωρ, ἀλλὰ καὶ ποιητὴς ἄριστος εἶναι Ῥωμαίων. ἡ μὲν οὖν ἐπὶ τῇ ῥητορικῇ δόξα μέχρι νῦν διαμένει, καίπερ οὐ μικρᾶς γεγενημένης περὶ τοὺς λόγους καινοτομίας, τὴν δὲ ποιητικὴν αὐτοῦ, πολλῶν εὐφυῶν ἐπιγενομένων, παντάπασιν ἀκλεῆ καὶ ἄτιμον ἔρρειν συμβέβηκεν.

Ἀπαλλαγεὶς δὲ τῶν ἐν παισὶ διατριβῶν, Φίλωνος ἤκουσε τοῦ ἐξ Ἀκαδημίας, ὃν μάλιστα Ῥωμαῖοι τῶν Κλειτομάχου συνήθων καὶ διὰ τὸν λόγον ἐθαύμασαν, καὶ διὰ τὸν τρόπον ἠγάπησαν. ἅμα δὲ τοῖς περὶ Μούκιον ἀνδράσι συνὼν πολιτικοῖς καὶ πρωτεύουσι τῆς βουλῆς, εἰς ἐμπειρίαν τῶν νόμων ὠφελεῖτο. καί τινα χρόνον καὶ στρατείας μετέσχεν ὑπὸ Σύλλᾳ, περὶ τὸν Μαρσικὸν πόλεμον. εἶθ᾽ ὁρῶν εἰς στάσιν, ἐκ δὲ τῆς στάσεως εἰς ἄκρατον ἐμπίπτοντα τὰ πράγματα μοναρχίαν, ἐπὶ τὸν σχολαστὴν καὶ θεωρητικὸν ἐλθὼν βίον, Ἕλλησι συνῆν φιλολόγοις, καὶ προσεῖχε τοῖς μαθήμασιν· ἄχρις οὗ Σύλλας ἐκράτησε, καὶ κατάστασίν τινα λαμβάνειν ἔδοξεν ἡ πόλις.

Ἐν δὲ τῷ χρόνῳ τούτῳ χρυσόγονος ἀπελεύθερος Σύλλα, προσαγγείλαντός τινος οὐσίαν ὡς ἐκ προγραφῆς ἀναιρεθέντος, αὐτὸς ἐωνήσατο δισχιλίων δραχμῶν. ἐπεὶ δὲ Ῥώσκιος ὁ υἱὸς καὶ κληρονόμος τοῦ τεθνηκότος ἠγανάκτει, καὶ τὴν οὐσίαν ἀπεδείκνυε πεντήκοντα καὶ διακοσίων ταλάντων οὖσαν ἀξίαν, ὅ, τε Σύλλας ἐλεγχόμενος ἐχαλέπαινε, καὶ δίκην πατροκτονίας ἐπῆγε τῷ Ῥωσκίῳ, τοῦ Χρυσογόνου κατασκευάσαντος, ἐβοήθει δ' οὐδεὶς, ἀλλ' ἀπετρέποντο, τοῦ Σύλλα τὴν χαλεπότητα δεδοικότες· οὕτω δὴ δι' ἐρημίαν τοῦ μειρακίου τῷ Κικέρωνι προσφυγόντος οἱ φίλοι συμπαρώρμων, ὡς οὐκ ἂν αὐτῷ λαμπροτέραν αὖθις ἀρχὴν πρὸς δόξαν ἑτέραν οὐδὲ καλλίω γενησομένην.

Ἀναδεξάμενος οὖν τὴν συνηγορίαν, καὶ κατορθώσας, ἐθαυμάσθη· δεδιὼς δὲ τὸν Σύλλαν, ἀπεδήμησεν εἰς τὴν Ἑλλάδα, διασπείρας λόγον ὡς τοῦ σώματος αὐτοῦ θεραπείας δεομένου. καὶ γὰρ ἦν ὄντως ἰσχνὸς καὶ ἄσαρκος, ἀῤῥωστίᾳ στομάχου μικρὰ καὶ γλίσχρα μόγις ὀψὲ τῆς ὥρας προσφερόμενος· ἡ δὲ φωνὴ, πολλὴ μὲν καὶ ἀγαθὴ, σκληρὰ δὲ καὶ ἄπλαστος· ὑπὸ δὲ τοῦ λόγου σφοδρότητα καὶ πάθος ἔχοντος, ἀεὶ διὰ τῶν ἄνω τόνων ἐλαυνομένη, φόβον παρεῖχεν ὑπὲρ τοῦ σώματος.

Ἀφικόμενος δ' εἰς Ἀθήνας, Ἀντιόχου τοῦ Ἀσ-

Ministerio de Educación, Cultura y Deporte

καλωνίτου διήκουσε, τῇ μὲν εὐροίᾳ τοῦ λόγον αὐτοῦ καὶ χάριτι κηλούμενος, ἃ δ' ἐν τοῖς δόγμασιν ἐνεωτέριζεν, οὐκ ἐπαινῶν. ἤδη γὰρ ἐξίστατο τῆς νέας λεγομένης ἀκαδημίας ὁ Ἀντίοχος, καὶ τὴν Καρνεάδου στάσιν ἐγκατέλειπεν, εἴτε καμπτόμενος ὑπὸ τῆς ἐναργείας καὶ τῶν αἰσθήσεων, εἴτε (ὥς φασιν ἔνιοι) φιλοτιμίᾳ τινὶ καὶ διαφορᾷ πρὸς τοὺς Κλειτομάχου καὶ Φίλωνος συνήθεις, τὸν Στωϊκὸν ἐκ μεταβολῆς θεραπεύων λόγον ἐν τοῖς πλείστοις. ὁ δὲ Κικέρων ἐκεῖνα ἠγάπα, κἀκείνοις προσεῖχε μᾶλλον, διανοούμενος, εἰ παντάπασιν ἐκπέσοι τοῦ τὰ κοινὰ πράσσειν, δεῦρο μετενεγκάμενος τὸν βίον ἐκ τῆς ἀγορᾶς καὶ τῆς πολιτείας, ἐν ἡσυχίᾳ μετὰ φιλοσοφίας καταζῆν.

Ἐπεὶ δ' αὐτῷ Σύλλας τε προσηγγέλθη τεθνηκὼς, καὶ τό σῶμα τοῖς γυμνασίοις ἀναῤῥωννύμενον εἰς ἕξιν ἐβάδιζε νεανικὴν, ἥ τε φωνὴ λαμβάνουσα πλάσιν, ἡδεῖα μὲν πρὸς ἀκοὴν ἐτέθραπτο καὶ πολλὴ, μετρίως δὲ πρὸς τὴν ἕξιν ἥρμοστο τοῦ σώματος, πολλὰ μὲν τῶν ἀπὸ Ῥώμης φίλων γραφόντων καὶ δεομένων, πολλὰ δ' Ἀντιόχου παρακελευομένου τοῖς κοινοῖς ἐπιβαλεῖν πράγμασιν. αὖθις ὥσπερ ὄργανον ἐξήρτυε τὸν ῥητορικὸν λόγον, καὶ ἀνεκίνει τὴν πολιτικὴν δύναμιν, αὐτόν τε ταῖς μελέταις διαπονῶν, καὶ τοὺς ἐπαινουμένους μετιὼν



Ministerio de Educación, Cultura y Deporte

ῥήτορας. ὅθεν εἰς Ἀσίαν καὶ Ῥόδον ἔπλευσε, καὶ τῶν μὲν Ἀσιανῶν ῥητόρων Ξενοκλεῖ τῷ Ἀδραμυττηνῷ, καὶ Διονυσίῳ τῷ Μάγνητι καὶ Μενίππῳ τῷ Καρὶ συνεσχόλασεν, ἐν δὲ Ῥόδῳ, ῥήτορι μὲν Ἀπολλωνίῳ τῷ Μόλωνος, φιλοσόφῳ δὲ Ποσειδωνίῳ.

Λέγεται δὲ τὸν Ἀπολλώνιον, οὐ συνιέντα τὴν Ῥωμαϊκὴν διάλεκτον, δεηθῆναι τοῦ Κικέρωνος Ἑλληνιστὶ μελετῆσαι· τὸν δ᾽ ὑπακοῦσαι προθύμως, οἰόμενον οὕτως ἔσεσθαι βελτίονα τὴν ἐπανόρθωσιν. ἐπεὶ δ᾽ ἐμελέτησε, τοὺς μὲν ἄλλους ἐκπεπλῆχθαι καὶ διαμιλλᾶσθαι πρὸς ἀλλήλους τοῖς ἐπαίνοις, τὸν δ᾽ Ἀπολλώνιον οὔτ᾽ ἀκροώμενον αὐτοῦ διαχυθῆναι, καὶ παυσαμένου σύννουν καθέζεσθαι πολὺν χρόνον· ἀχθομένου δὲ τοῦ Κικέρωνος, εἰπεῖν, Σὲ μὲν ὦ Κικέρων, ἐπαινῶ καὶ θαυμάζω, τῆς δὲ Ἑλλάδος οἰκτείρω τὴν τύχην, ὁρῶν, ἃ μόνα τῶν καλῶν ἡμῖν ὑπελείπετο, καὶ ταῦτα Ῥωμαίοις διὰ σοῦ προσγενόμενα, παιδείαν τε καὶ λόγον.

Ὁ γοῦν Κικέρων ἐλπίδων μεστὸς ἐπὶ τὴν πολιτείαν φερόμενος, ὑπὸ χρησμοῦ τινος ἀπημβλύνθη τὴν ὁρμήν, ἐρομένῳ γὰρ αὐτῷ τὸν ἐν Δελφοῖς θεὸν ὅπως ἐνδοξότατος γένοιτο, προσέταξεν ἡ Πυθία, τὴν ἑαυτοῦ φύσιν, ἀλλὰ μὴ τὴν τῶν πολλῶν δόξαν, ἡγεμόνα ποιεῖσθαι τοῦ βίου. καὶ τόν τε πρῶτον ἐν Ῥώμῃ χρόνον εὐλαβῶς διῆγε,

Ministerio de Educación, Cultura y Deporte

καὶ ταῖς ἀρχαῖς ὀκνηρῶς προσῄει καὶ παρημελεῖτο· ταῦτα δὴ τὰ Ῥωμαίων τοῖς βαναυσοτάτοις πρόχειρα καὶ συνήθη ῥήματα, Γραικὸς καὶ σχολαστικὸς, ἀκούων. ἐπεὶ δὲ φύσει φιλότιμος ὢν, καὶ παροξυνόμενος ὑπὸ τοῦ πατρὸς καὶ τῶν φίλων, ἐπέδωκεν εἰς τὸ συνηγορεῖν ἑαυτὸν, οὐκ ἠρέμα τῷ πρωτείῳ προσῆγεν, ἀλλ' εὐθὺς ἐξέλαμψε τῇ δόξῃ, καὶ διέφερε πολὺ τῶν ἀγωνιζομένων ἐπ' ἀγορᾶς.

Λέγεται δὲ καὶ αὐτὸς οὐδὲν ἧττον νοσήσας τοῦ Δημοσθένους πρὸς τὴν ὑπόκρισιν, τοῦτο μὲν Ῥωσκίῳ τῷ κωμῳδῷ, τοῦτο δὲ Αἰσώπῳ τῷ τραγῳδῷ προσέχειν ἐπιμελῶς. τὸν δ' Αἴσωπον τοῦτον ἱστοροῦσιν ὑποκρινόμενον ἐν θεάτρῳ τὸν περὶ τῆς τιμωρίας τοῦ Θυέστου βουλευόμενον Ἀτρέα, τῶν ὑπηρετῶν τινος ἄφνω παραδραμόντος, ἔξω τῶν ἑαυτοῦ λογισμῶν διὰ τὸ πάθος ὄντα, τῷ σκήπτρῳ πατάξαι καὶ ἀνελεῖν. οὐ μικρὰ δὲ πρὸς τὸ πείθειν ὑπῆρχεν ἐκ τοῦ ὑποκρίνεσθαι ῥοπὴ τῷ Κικέρωνι. καὶ τοὺς γε τῷ βοᾶν μεγάλα χρωμένους ῥήτορας ἐπισκώπτων, ἔλεγε δι' ἀσθένειαν ἐπὶ τὴν κραυγὴν, ὥσπερ χωλοὺς ἐφ' ἵππον πηδᾶν. ἡ δὲ περὶ τὰ σκώμματα καὶ τὴν παιδιὰν ταύτην εὐτραπελία, δικανικὸν μὲν ἐδόκει καὶ γλαφυρόν. χρώμενος δὲ αὐτῇ κατακόρως, πολλοὺς ἐλύπει, καὶ κακοηθείας ἐλάμβανε δόξαν.

Ministerio de Educación, Cultura y Deporte

Ἀποδειχθεὶς δὲ ταμίας ἐν σιτοδείᾳ, καὶ λαχὼν Σικελίαν, ἠνώχλησε τοῖς ἀνθρώποις ἐν ἀρχῇ, σῖτον εἰς Ῥώμην ἀποστέλλειν ἀναγκαζόμενος. ὕστερον δὲ τῆς ἐπιμελείας καὶ δικαιοσύνης καὶ πρᾳότητος αὐτοῦ πεῖραν λαμβάνοντες, ὡς οὐδένα τῶν πώποθ' ἡγεμόνων ἐτίμησαν. ἐπεὶ δὲ πολλοὶ τῶν ἀπὸ Ῥώμης νέων ἔνδοξοι καὶ γεγονότες καλῶς, αἰτίαν ἔχοντες ἀταξίας καὶ μαλακίας περὶ τὸν πόλεμον, ἀνεπέμφθησαν ἐπὶ τὸν στρατηγὸν τῆς Σικελίας, συνεῖπεν αὐτοῖς ὁ Κικέρων ἐπιφανῶς, καὶ περιεποίησεν.

Ἐπὶ τούτοις οὖν μέγα φρονῶν εἰς Ῥώμην βαδίζων, γελοῖόν τι παθεῖν φησι. συντυχὼν γὰρ ἀνδρὶ τῶν ἐπιφανῶν φίλῳ δοκοῦντι περὶ Καμπανίαν, ἔρεσθαι, τίνα δὴ τῶν πεπραγμένων ὑπ' αὐτοῦ λόγον ἔχουσι Ῥωμαῖοι, καὶ τί φρονοῦσιν· (ὡς ὀνόματος καὶ δόξης τῶν πεπραγμένων αὐτῷ τὴν πόλιν ἅπασαν ἐμπεπληκώς) τὸν δ' εἰπεῖν, Ποῦ γὰρ ἦς, ὦ Κικέρων, τὸν χρόνον τοῦτον; τότε μὲν οὖν ἐξαθυμῆσαι παντάπασιν, εἰ, καθάπερ εἰς πέλαγος ἀχανὲς τὴν πόλιν ἐμπεσὼν ὁ περὶ αὐτοῦ λόγος, οὐδὲν εἰς δόξαν ἐπίδηλον πεποίηκεν.

Ὕστερον δὲ λογισμὸν ἑαυτῷ διδοὺς, πολὺ τῆς φιλοτιμίας ὑφεῖλεν, ὡς πρὸς ἀόριστον πρᾶγμα τὴν δόξαν ἁμιλλώμενος, καὶ πέρας οὐκ ἐφικτὸν ἔχουσαν. οὐ μὴν ἀλλὰ τό γε χαίρειν ἐπαινούμενον

Ministerio de Educación, Cultura y Deporte

διαφερόντως, καὶ πρὸς δόξαν ἐμπαθέστερον ἔχειν, ἄχρι παντὸς αὐτῷ παρέμεινε, καὶ πολλοὺς πολλάκις τῶν ὀρθῶν ἐπετάραξε λογισμῶν.

Ἁπτόμενος δὲ τῆς πολιτείας προθυμότερον, αἰσχρὸν ἡγεῖτο, τοὺς μὲν βαναύσους ὀργάνοις χρωμένους καὶ σκεύεσιν ἀψύχοις, μηδενὸς ἀγνοεῖν ὄνομα, μηδὲ χώραν ἢ δύναμιν αὐτῶν, τὸν δὲ πολιτικὸν, ᾧ δι' ἀνθρώπων αἱ κοιναὶ πράξεις περαίνονται, ῥαθύμως καὶ ἀμελῶς ἔχειν περὶ τὴν τῶν πολιτικῶν γνῶσιν. ὅθεν οὐ μόνον τῶν ὀνομάτων εἴθιζεν αὐτὸν, ἀλλὰ καὶ τὸν τόπον ἐν ᾧ τῶν γνωρίμων ἕκαστος οἰκεῖ, καὶ χωρίον οὗ κέκτηται, καὶ φίλους οἷς τισι χρῆται, καὶ γείτονας ἐγίνωσκε· καὶ πᾶσαν ὁδὸν Ἰταλίας διαπορευομένῳ Κικέρωνι πρόχειρον ἦν εἰπεῖν, καὶ ἐπιδεῖξαι τοὺς τῶν φίλων ἀγροὺς καὶ τὰς ἐπαύλεις.

Οὐσίαν δὲ μικρὰν μὲν, ἱκανὴν δὲ καὶ ταῖς δαπάναις ἐπαρκῆ κεκτημένος, ἐθαυμάζετο μήτε μισθοὺς μήτε δῶρα προσιέμενος ἀπὸ τῆς συνηγορίας, μάλιστα δ' ὅτε τὴν κατὰ Βέρρου δίκην ἀνέλαβε. τοῦτον γὰρ στρατηγὸν γεγονότα τῆς Σικελίας, καὶ πολλὰ πεπονηρευμένον, τῶν Σικελιωτῶν διωκόντων, εἷλεν, οὐκ εἰπὼν, ἀλλ' ἐξ αὐτοῦ τρόπον τινὰ τοῦ μὴ εἰπεῖν. τῶν γὰρ στρατηγῶν τῷ Βέρρῃ χαριζομένων, καὶ τὴν δίκην ὑπερθέσεσι πολλαῖς εἰς τὴν

ὑστάτην ἐκβαλλόντων, ὡς ἦν πρόδηλον ὅτι τοῖς λόγοις ὁ τῆς ἡμέρας οὐκ ἐξαρκέσει χρόνος, οὐδὲ λήψεται πέρας ἡ κρίσις, ἀναστὰς ὁ Κικέρων ἔφη μὴ δεῖσθαι λόγων, ἀλλ' ἐπαγαγὼν τοὺς μάρτυρας καὶ ἐπικρίνας, ἐκέλευσε φέρειν τὴν ψῆφον τοὺς δικαστάς.

Ὅμως δὲ πολλὰ χαρίεντα διαμνημονεύεται καὶ περὶ ἐκείνην αὐτοῦ τὴν δίκην. Βέρρην γὰρ οἱ Ῥωμαῖοι τὸν ἐκτετμημένον χοῖρον καλοῦσιν. ὡς οὖν ἀπελευθερικὸς ἄνθρωπος ἔνοχος τῷ ἰουδαΐζειν, ὄνομα Καικίλιος, ἐβούλετο παρωσάμενος τοὺς Σικελιώτας κατηγορεῖν τοῦ Βέρρου, Τί Ἰουδαίῳ πρὸς χοῖρον; ἔφη ὁ Κικέρων. ἦν δὲ τῷ Βέρρῃ ἀντίπαις υἱὸς, οὐκ ἐλευθερίως δοκῶν προΐστασθαι τῆς ὥρας. λοιδορηθεὶς οὖν ὁ Κικέρων εἰς μαλακίαν ὑπὸ τοῦ Βέρρου, Τοῖς υἱοῖς (εἶπεν) ἐντὸς θυρῶν δεῖ λοιδορεῖσθαι. τοῦ δὲ ῥήτορος Ὁρτησίου τὴν μὲν εὐθεῖαν τῷ Βέρρῃ συνειπεῖν μὴ τολμήσαντος, ἐν δὲ τῷ τιμήματι πεισθέντος παραγενέσθαι, καὶ λαβόντος ἐλεφαντίνην Σφίγγα μισθὸν, εἶπέ τι πλαγίως ὁ Κικέρων πρὸς αὐτόν. τοῦ δὲ φήσαντος αἰνιγμάτων λύσεων ἀπείρως ἔχειν, Καὶ μὴν ἐπὶ τῆς οἰκίας τὴν Σφίγγα ἔχεις.

Οὕτω δὲ τοῦ Βέρρου καταδικασθέντος, ἑβδομήκοντα πέντε μυριάδων τιμησάμενος τὴν δίκην ὁ Κικέρων, διαβολὴν ἔσχεν ὡς ἐπ' ἀργυρίῳ τὸ τίμη-

Ministerio de Educación, Cultura y Deporte

μα καθυφειμένος. ὅμως ἀλλ' οἱ Σικελιῶται χάριν εἰδότες, ἀγορανομοῦντος αὐτοῦ πολλὰ μὲν ἄγοντες ἀπὸ τῆς νήσου, πολλὰ δὲ φέροντες ἧκον. ὧν οὐδὲν ἐποιήσατο κέρδος, ἀλλ' ὅσον ἐπευωνίσαι τὴν ἀγορὰν, ἀπεχρήσατο τῇ φιλοτιμίᾳ τῶν ἀνθρώπων.

Ἐκέκτητο δὲ χωρίον καλὸν ἐν Ἄρποις, καὶ περὶ νέαν πόλιν ἦν ἀγρὸς, καὶ περὶ Πομπηΐους ἕτερος, οὐ μεγάλοι· φερνή τε Τερεντίας τῆς γυναικὸς προσεγένετο μυριάδων δώδεκα, καὶ κληρονομία τις εἰς ἐννέα δηναρίων συναχθεῖσα μυριάδας. ἀπὸ τούτων ἐλευθερίως ἅμα καὶ σωφρόνως διῆγε, μετὰ τῶν συμβιούντων Ἑλλήνων καὶ Ῥωμαίων φιλολόγων, σπάνιον εἴ ποτε πρὸ δυσμῶν ἡλίου κατακλινόμενος, οὐχ οὕτω δι' ἀσχολίαν, ὡς διὰ τὸ σῶμα τῷ στομάχῳ μοχθηρῶς διακείμενον.

Ἦν δὲ καὶ τὴν ἄλλην περὶ τὸ σῶμα θεραπείαν ἀκριβὴς καὶ περιττὸς, ὥστε καὶ τρίψεσι καὶ περιπάτοις ἀριθμῷ τεταγμένοις χρῆσθαι. τοῦτον τὸν τρόπον διαπαιδαγωγῶν τὴν ἕξιν, ἄνοσον καὶ διαρκῆ πρὸς πολλοὺς καὶ μεγάλους ἀγῶνας καὶ πόνους συνεῖχεν. οἰκίαν δὲ τὴν μὲν πατρῴαν τῷ ἀδελφῷ παρεχώρησεν, αὐτὸς δ' ᾤκει περὶ τὸ Παλάτιον, ὑπὲρ τοῦ μὴ μακρὰν βαδίζοντας ἐνοχλεῖσθαι τοὺς θεραπεύοντας αὐτόν. ἐθεράπευον δὲ καθ' ἡμέραν ἐπὶ θύρας φοιτῶντες οὐκ ἐλάττονες ἢ Κράσσον ἐπὶ

Ministerio de Educación, Cultura y Deporte

πλούτῳ, καὶ Πομπήιον διὰ τὴν ἐν τοῖς στρατεύμασι δύναμιν, θαυμαζομένους μάλιστα Ῥωμαίων, καὶ μεγίστους ὄντας.

Πομπέιος δὲ καὶ Κικέρωνα ἐθεράπευε, καὶ μεγάλα πρὸς δύναμιν αὐτῷ καὶ δόξαν ἡ Κικέρωνος συνέπραξε πολιτεία. στρατηγίαν δὲ μετιόντων ἅμα σὺν αὐτῷ πολλῶν καὶ μεγάλων, πρῶτος ἁπάντων ἀνηγορεύθη· καὶ τὰς κρίσεις ἔδοξε καθαρῶς καὶ καλῶς βραβεῦσαι. λέγεται δὲ καὶ Λικίνιος Μάκερ, ἀνὴρ καὶ καθ' αὑτὸν ἰσχύων ἐν τῇ πόλει μέγα, καὶ Κράσσῳ χρώμενος βοηθῷ, κρινόμενος κλοπῆς ὑπ' αὐτοῦ, τῇ δυνάμει καὶ σπουδῇ πεποιθὼς, ἔτι τὴν ψῆφον τῶν κριτῶν διαφερόντων, ἀπαλλαγεὶς οἴκαδε, κείρασθαί τε τὴν κεφαλὴν κατὰ τάχος, καὶ καθαρὸν ἱμάτιον ὡς νενικηκὼς λαβὼν, αὖθις εἰς ἀγορὰν προϊέναι. τοῦ δὲ Κράσσου περὶ τὴν αὔλειον ἀπαντήσαντος αὐτῷ, καὶ φράσαντος ὅτι πάσαις ἑάλωκε ταῖς ψήφοις, ἀναστρέψας καὶ κατακλιθεὶς ἀποθανεῖν. τὸ δὲ πρᾶγμα τῷ Κικέρωνι δόξαν ἤνεγκεν, ὡς ἐπιμελῶς βραβεύσαντι τὸ δικαστήριον.

Ἐπεὶ δὲ Οὐατίνιος, ἀνὴρ ἔχων τι τραχὺ καὶ πρὸς τοὺς ἄρχοντας ὀλίγωρον ἐν ταῖς συνηγορίαις, χοιράδων δὲ τὸν τράχηλον περίπλεως, ᾐτεῖτό τι καταστὰς παρὰ τοῦ Κικέρωνος. καὶ μὴ

Ministerio de Educación, Cultura y Deporte

διδόντος, ἀλλὰ βουλευομένου πολὺν χρόνον, εἰπεῖν ὡς οὐκ ἂν αὐτὸς δικάσειε περὶ τούτου στρατηγῶν. ἐπιστραφεὶς ὁ Κικέρων, Ἀλλ᾽ ἐγὼ (εἶπεν) οὐκ ἔχω τηλικοῦτον τράχηλον.

Ἔτι δ᾽ ἡμέρας δύο ἢ τρεῖς ἔχοντι τῆς ἀρχῆς αὐτῷ, προσήγαγέ τις Μανίλιον, εὐθύνων κλοπῆς. ὁ δὲ Μανίλιος οὗτος εὔνοιαν εἶχε καὶ σπουδὴν ὑπὸ τοῦ δήμου, δοκῶν ἐλαύνεσθαι διὰ Πομπήϊον ἐκείνου γὰρ ἦν φίλος. αἰτουμένου δ᾽ ἡμέραν αὐτοῦ μίαν, ὁ Κικέρων μόνην τὴν ἐπιοῦσαν ἔδωκε, καὶ ὁ δῆμος ἠγανάκτησιν, εἰθισμένων τῶν στρατηγῶν δέκα τοὐλάχιστον ἡμέρας διδόναι τοῖς κινδυνεύουσι. τῶν δὲ δημάρχων αὐτὸν διαγαγόντων ἐπὶ τὸ βῆμα, καλούντων, καὶ κατηγορούντων, ἀκουσθῆναι δεηθεὶς, εἶπεν, ὅτι τοῖς κινδυνεύουσιν, ἀεὶ καθ᾽ ὅσον οἱ νόμοι παρείκουσι, κεχρημένος ἐπιεικῶς καὶ φιλανθρώπως, δεινὸν ἡγεῖτο τῷ Μανιλίῳ ταῦτα μὴ παρασχεῖν. ἧς οὖν ἔτι μόνης κύριος ἦν ἡμέρας στρατηγῶν, ταύτην ἐπίτηδες ὁρίσαι. τό γὰρ εἰς ἄλλον ἄρχοντα τὴν κρίσιν ἐκβαλεῖν, οὐκ εἶναι βουλομένων βοηθεῖν. ταῦτα λεχθέντα θαυμαστὴν ἐποίησε τοῦ δήμου μεταβολήν. καὶ πολλὰ κατευφημοῦντες αὐτὸν, ἐδέοντο τὴν ὑπὲρ τοῦ Μανιλίου συνηγορίαν ἀναλαβεῖν. ὁ δ᾽ ὑπέστη προθύμως, οὐχ ἥκιστα διὰ Πομπήϊον ἀπόντα καὶ καταστὰς πάλιν ἐξ ὑπαρ-

χῆς ἐδημηγόρησε, νεανικῶς τῶν ὀλιγαρχικῶν καὶ τῶν Πομπηΐῳ φθονούντων καθαπτόμενος.

Ἐπὶ δὲ τὴν ὑπατείαν οὐχ ἧττον ὑπὸ τῶν ἀριστοκρατικῶν ἢ τῶν πολλῶν προήχθη διὰ τὴν πόλιν, ἐξ αἰτίας αὐτῷ τοιαύτης συναγωνισαμένων. τῆς ὑπὸ Σύλλα γενομένης μεταβολῆς περὶ τὴν πολιτείαν, ἐν ἀρχῇ μὲν ἀτόπου φανείσης, τότε δὲ τοῖς πολλοῖς ὑπὸ χρόνου καὶ συνηθείας ἤδη τινὰ κατάστασιν ἔχειν οὐ φαύλην δοκούσης, ἦσαν οἱ τὰ παρόντα διασεῖσαι καὶ μεταθεῖναι ζητοῦντες, ἰδίων ἕνεκα πλεονεξιῶν, οὐ πρὸς τὸ βέλτιστον· Πομπηΐου μὲν ἔτι τοῖς βασιλεῦσιν ἐν Πόντῳ καὶ Ἀρμενίᾳ πολεμοῦντος, ἐν δὲ τῇ Ῥώμῃ μηδεμιᾶς ὑφεστώσης πρὸς τοὺς νεωτερίζοντας ἀξιομάχου δυνάμεως.

Οὗτοι κορυφαῖον εἶχον, ἄνδρα τολμητὴν καὶ μεγαλοπράγμονα καὶ ποικίλον τὸ ἦθος, Λεύκιον Κατιλίαν· ὃς αἰτίαν ποτὲ πρὸς ἄλλοις ἀδικήμασι μεγάλοις ἔλαβε παρθένῳ συγγεγονέναι θυγατρί, κτεῖναι δὲ ἀδελφὸν αὐτοῦ. καὶ δίκην ἐπὶ τούτῳ φοβούμενος, ἔπεισε Σύλλαν, ὡς ἔτι ζῶντα τὸν ἄνθρωπον, ἐν τοῖς ἀποθανουμένοις προγράψαι. τοῦτον οὖν προστάτην οἱ πονηροὶ λαβόντες, ἄλλας τε πίστεις ἀλλήλοις ἔδοσαν, καὶ καταθύσαντες ἄνθρωπον, ἐγεύσαντο τῶν σαρκῶν. διέφθαρτο δ' ὑπ' αὐτοῦ πολὺ μέρος τῆς ἐν τῇ πόλει νεότητος, ἡδονὰς

Ministerio de Educación, Cultura y Deporte

καὶ πότους καὶ γυναικῶν ἔρωτας ἀεὶ προξενοῦντος ἑκάστῳ, καὶ τὴν εἰς ταῦτα δαπάνην ἀφειδῶς παρασκευάζοντος.

Ἐπῆρτο δ' ἥ τε Τυρρηνία πρὸς ἀπόστασιν ὅλη, καὶ τὰ πολλὰ τῆς ἐντὸς Ἄλπεων Γαλατίας. ἐπισφαλέστατα δ' ἡ Ῥώμη πρὸς μεταβολὴν εἶχε, διὰ τὴν ἐν ταῖς οὐσίαις ἀνωμαλίαν, τῶν μὲν ἐν δόξῃ μάλιστα καὶ φρονήματι κατεπτωχευμένων εἰς θέατρα καὶ δεῖπνα καὶ φιλαρχίας καὶ οἰκοδομίας, τῶν δὲ πλούτων εἰς ἀγεννεῖς καὶ ταπεινοὺς συνερρυηκότων ἀνθρώποις. ὥστε μικρᾶς ῥοπῆς δεῖσθαι τὰ πράγματα, καὶ παντὸς εἶναι τοῦ τολμήσαντος ἐκστῆναι τὴν πολιτείαν, αὐτὴν ὑφ' αὐτῆς νοσοῦσαν.

Οὐ μὴν ἀλλὰ βουλόμενος ὁ Κατιλίνας ἰσχυρόν τι προκαταλαβεῖν ὁρμητήριον, ὑπατείαν μετῄει. καὶ λαμπρὸς ἦν ταῖς ἐλπίσιν, ὡς Γαΐῳ Ἀντωνίῳ συνυπατεύσων, ἀνδρὶ καθ' αὐτὸν μὲν, οὔτε πρὸς τὸ βέλτιον οὔτε πρὸς τὸ χεῖρον ἡγεμονικῷ, προσθήκῃ δ' ἄγοντος ἑτέρου δυνάμεως ἐσομένῳ. ταῦτα δὴ τῶν καλῶν καὶ ἀγαθῶν οἱ πλεῖστοι προαισθόμενοι, τὸν Κικέρωνα προῆγον ἐπὶ τὴν ὑπατείαν. καὶ τοῦ δήμου δεξαμένου προθύμως, ὁ μὲν Κατιλίνας ἐξέπεσε, Κικέρων δὲ καὶ Γάιος Ἀντώνιος ᾑρέθησαν·

Καίτοι τῶν μετιόντων ὁ Κικέρων μόνος ἦν ἐξ

MUSEO ARQUEOLOGICO NACIONAL

Ministerio de Educación, Cultura y Deporte

ἱπποικοῦ πατρός, οὐ βουλευτοῦ, γεγονώς. καὶ τὰ μὲν περὶ Κατιλίναν ἔμενεν ἔτι τοὺς πολλοὺς λανθάνοντα. προαγῶνες δὲ μεγάλοι τὴν Κικέρωνος ὑπατείαν ἐξεδέξαντο· τοῦτο μὲν γάρ, οἱ κεκωλυμένοι κατὰ τοὺς Σύλλα νόμους ἄρχειν, οὔτ' ἀσθενεῖς ὄντες, οὔτ' ὀλίγοι, μετιόντες ἀρχὰς ἐδημαγώγουν. (πολλὰ τῆς Σύλλα τυραννίδος ἀληθῆ μὲν καὶ δίκαια κατηγοροῦντες, οὐ μὲν ἐν δέοντι τὴν πολιτείαν οὐδὲ σὺν καιρῷ κινοῦντες) τοῦτο δέ, νόμους εἰσῆγον οἱ δήμαρχοι πρὸς τὴν αὐτὴν ὑπόθεσιν, δεκαδαρχίαν καθιστάντες αὐτοκρατόρων ἀνδρῶν. οἷς ἐφεῖτο, πάσης μὲν Ἰταλίας, πάσης δὲ Συρίας, καὶ ὅσα διὰ Πομπηΐου νεωστὶ προσώριστο, κυρίους ὄντας, πωλεῖν τὰ δημόσια, κρίνειν οὓς δοκοίη, φυγάδας ἐκβάλλειν, συνοικίζειν πόλεις, χρήματα λαμβάνειν ἐκ τοῦ ταμιείου, στρατιώτας τρέφειν καὶ καταλέγειν ὁπόσων δέοιντο.

Διὸ καὶ τῷ νόμῳ προσεῖχον ἄλλοι τε τῶν ἐπιφανῶν, καὶ πρῶτος Ἀντώνιος ὁ τοῦ Κικέρωνος συνάρχων, ὡς τῶν δέκα γενησόμενος. ἐδόκει δὲ καὶ τὸν Κατιλίνα νεωτερισμὸν εἰδὼς οὐ δυσχεραίνειν, ὑπὸ πλήθους δανείων. ὃ μάλιστα τοῖς ἀρίστοις φόβον παρεῖχε. καὶ τοῦτο πρῶτον θεραπεύων ὁ Κικέρων, ἐκείνῳ μὲν ἐψηφίσατο τῶν ἐπαρχιῶν Μακεδονίαν, αὐτῷ δὲ τὴν Γαλατίαν διδομένην

παρῃτήσατο,

Ministerio de Educación, Cultura y Deporte

παρῃτήσατο, καὶ κατειργάσατο τῇ χάριτι ταύτῃ τὸν Ἀντώνιον, ὥσπερ ὑποκριτὴν ἔμμισθον, αὐτῷ τὰ δεύτερα λέγειν ὑπὲρ τῆς πατρίδος.

Ὡς δ' οὗτος ἑαλώκει καὶ χειροήθης ἐγεγόνει, μᾶλλον ἤδη θαρρῶν ὁ Κικέρων ἐνίστατο πρὸς τοὺς καινοτομοῦντας. ἐν μὲν οὖν τῇ βουλῇ κατηγορίαν τινὰ τοῦ νόμου διατιθέμενος, οὕτως ἐξέπληξεν αὐτοὺς τοὺς εἰσφέροντας, ὥστε μηδὲν ἀντιλέγειν. ἐπεὶ δ' αὖθις ἐπεχείρουν, καὶ παρεσκευασμένοι προεκαλοῦντο τοὺς ὑπάτους ἐπὶ τὸ δῆμον, οὐδὲν ὑποδείσας ὁ Κικέρων, ἀλλὰ τὴν βουλὴν ἕπεσθαι κελεύσας, καὶ προελθών, οὐ μόνον ἐξέβαλε τὸν νόμον, ἀλλὰ καὶ τῶν ἄλλων ἀπογνῶναι τοὺς δημάρχους ἐποίησε, παρὰ τοσοῦτον τῷ λόγῳ κρατηθέντας ὑπ' αὐτοῦ. μάλιστα γὰρ οὗτος ὁ ἀνὴρ ἐπέδειξε Ῥωμαίοις ὅσον ἡδονῆς λόγος τῷ καλῷ προστίθησι, καὶ ὅτι τὸ δίκαιον ἀήττητόν ἐστιν, ἂν ὀρθῶς λέγηται· καὶ δεῖ τὸν ἐμμελῶς πολιτευόμενον, ἀεὶ τῷ μὲν ἔργῳ, τὸ καλὸν ἀντὶ τοῦ κολακεύοντος αἱρεῖσθαι, τῷ δὲ λόγῳ, τὸ λυποῦν ἀφαιρεῖν τοῦ συμφέροντος.

Δεῖγμα δὲ αὐτοῦ τῆς περὶ τὸν λόγον χάριτος, καὶ τὸ περὶ τὰς θέας ἐν τῇ ὑπατείᾳ γενόμενον. τῶν γὰρ ἱππικῶν πρότερον ἐν τοῖς θεάτροις ἀναμεμιγμένων τοῖς πολλοῖς, καὶ μετὰ τοῦ δήμου θεωμένων ὡς ἔτυχε, πρῶτος διέκρινεν ἐπὶ τιμῇ τοὺς



Ministerio de Educación, Cultura y Deporte

ἱππέας ἀπὸ τῶν ἄλλων πολιτῶν Μάρκος Ὄθων στρατηγῶν, καὶ διένειμεν ἰδίαν ἐκείνοις θέαν, ἣν ἔτι καὶ νῦν ἐξαίρετον ἔχουσι. τοῦτο πρὸς ἀτιμίαν ὁ δῆμος ἔλαβε, καὶ φανέντος ἐν θεάτρῳ τοῦ Ὄθωνος, ἐφυβρίζων ἐσύριττεν, οἱ δ' ἱππεῖς ὑπέλαβον κρότῳ τὸν ἄνδρα λαμπρῶς. αὖθις δὲ ὁ δῆμος ἐπέτεινε τὸν συριγμὸν, εἶτα ἐκεῖνοι τὸν κρότον. ἐκ δὲ τούτου τραπόμενοι πρὸς ἀλλήλους, ἐχρῶντο λοιδορίαις, καὶ τὸ θέατρον ἀκοσμία κατεῖχεν. ἐπεὶ δ' ὁ Κικέρων ἧκε πυθόμενος, καὶ τὸν δῆμον ἐκκαλέσας πρὸς τὸ τῆς Ἐνυοῦς ἱερὸν, ἐπετίμησε καὶ παρήνεσεν, ἀπελθόντες αὖθις εἰς τὸ θέατρον ἐκρότουν τὸν Ὄθωνα λαμπρῶς, καὶ πρὸς τοὺς ἱππέας ἅμιλλαν ἐποιοῦντο περὶ τιμῶν καὶ δόξης τοῦ ἀνδρός.

Ἡ δὲ περὶ τὸν Κατιλίναν συνωμοσία πτήξασα καὶ καταδείσασα τὴν ἀρχὴν, αὖθις ἀνεθάρρει, καὶ συνῆγον ἀλλήλους, καὶ παρεκάλουν εὐτολμότερον ἅπτεσθαι τῶν πραγμάτων, πρὶν ἐπανελθεῖν Πομπήϊον, ἤδη λεγόμενον ὑποστρέφειν μετὰ τῆς δυνάμεως. μάλιστα δὲ τὸν Καλιλίναν ἐξηρέθιζον οἱ Σύλλα πάλαι στρατιῶται, διαπεφευγότες μὲν ὅλης τῆς Ἰταλίας, πλεῖστοι δὲ καὶ μαχιμώτατοι ταῖς Τυρρηνικαῖς ἐγκατεσπαρμένοι πόλεσιν, ἁρπαγὰς πάλιν καὶ διαφορήσεις πλούτων ἑτοίμων ὀνειρο-

Ministerio de Educación, Cultura y Deporte

πολοῦντες. οὗτοι γὰρ ἡγεμόνα Μάλλιον ἔχοντες, ἄνδρα τῶν ἐπιφανῶς ὑπὸ Σύλλᾳ στρατευσαμένων, συνίσταντο τῷ Κατιλίνᾳ, καὶ παρῆσαν εἰς Ῥώμην συναρχαιρεσιάσοντες. ὑπατείαν γὰρ αὖθις μετῄει, βεβουλευμένος ἀνελεῖν τὸν Κικέρωνα περὶ αὐτὸν τῶν ἀρχαιρεσιῶν τὸν θόρυβον.

Ἐδόκει δὲ καὶ τὸ δαιμόνιον προσημαίνειν τὰ πρασσόμενα σεισμοῖς καὶ κεραυνοῖς καὶ φάσμασιν, αἱ δ' ἀπ' ἀνθρώπων μηνύσεις, ἀληθεῖς μὲν ἦσαν, οὔπω δ' εἰς ἔλεγχον ἀπεχρῶσαι κατ' ἀνδρὸς ἐνδόξου καὶ δυναμένου μέγα τοῦ Κατιλίνα. διὸ τὴν ἡμέραν τῶν ἀρχαιρεσιῶν ὑπερθέμενος ὁ Κικέρων, ἐκάλει τὸν Κατιλίναν εἰς τὴν σύγκλητον, καὶ περὶ τῶν λεγομένων ἀνέκρινεν. ὁ δὲ, πολλοὺς οἰόμενος εἶναι τοὺς πραγμάτων καινῶν ἐφιεμένους ἐν τῇ βουλῇ, καὶ ἅμα τοῖς συνωμόταις ἐνδεικνύμενος, ἀπεκρίνατο τῷ Κικέρωνι μαλακὴν ὑπόκρισιν. » Τί γὰρ (ἔφη) πράττω δεινὸν, εἰ δυοῖν σωμάτων ὄντων, τοῦ μὲν, ἰσχνοῦ καὶ κατεφθινηκότος, ἔχοντος δὲ κεφαλὴν, τοῦ δ', ἀκεφάλου μὲν, ἰσχυροῦ δὲ καὶ μεγάλου, τούτῳ κεφαλὴν αὐτὸς ἐπιτίθημι; «

Τούτων εἰς τε τὴν βουλὴν καὶ τὸν δῆμον ἠνιγμένων ὑπ' αὐτοῦ, μᾶλλον ὁ Κικέρων ἔδεισε, καὶ τεθωρακισμένον αὐτὸν οἵ τε δυνατοὶ πάντες ἀπὸ τῆς οἰκίας, καὶ τῶν νέων πολλοὶ κατήγαγον εἰς



Ministerio de Educación, Cultura y Deporte

τὸ πεδίον. τοῦ δὲ θώρακος ἐπίτηδες ὑπέφαινέ τι παραλύσας ἐκ τῶν ὤμων τοῦ χιτῶνος, ἐνδεικνύμενος τοῖς ὁρῶσι τὸν κίνδυνον. οἱ δ᾽ ἠγανάκτουν καὶ συνεστρέφοντο περὶ αὐτόν. καὶ τέλος, ἐν ταῖς ψήφοις τὸν μὲν Κατιλίναν αὖθις ἐξέβαλον, εἵλοντο δὲ Σιλανὸν ὕπατον, καὶ Μουρήναν.

Οὐ πολλῷ δ᾽ ὕστερον τούτων ἤδη τῷ Κατιλίνᾳ τῶν ἐν Τυῤῥηνίᾳ συνερχομένων, καὶ τῆς ὡρισμένης πρὸς τὴν ἐπίθεσιν ἡμέρας ἐγγὺς οὔσης, ἧκον ἐπὶ τὴν Κικέρωνος οἰκίαν περὶ μέσας νύκτας ἄνδρες οἱ πρῶτοι καὶ δυνατώτατοι Ῥωμαίων, Μάρκος τε Κράσσος, καὶ Μάρκος Μάρκελλος, καὶ Σκιπίων Μέτελλος· καὶ κόψαντες γὰρ τὰς θύρας, καὶ καλέσαντες τὸν θυρωρὸν, ἐκέλευον ἐπεγεῖραι, καὶ φράσαι Κικέρωνι τὴν παρουσίαν αὐτῶν.

Ἦν γὰρ τοιόνδε· τῷ Κράσσῳ μετὰ δεῖπνον ἐπιστολὰς ἀποδίδωσιν ὁ θυρωρὸς ὑπὸ δή τινος ἀνθρώπου κομισθείσας ἀγνώστου, ἄλλας ἄλλοις ἐπιγεγραμμένας, αὐτῷ γὰρ Κράσσῳ, μίαν ἀδέσποτον· ἣν μόνην ἀναγνοὺς ὁ Κράσσος, ὡς ἔφραζε τὰ γράμματα φόνον γενησόμενον πολὺν διὰ Κατιλίναν, καὶ παρῄνει τῆς πόλεως ὑπεξελθεῖν, τὰς ἄλλας οὐκ ἔλυσεν, ἀλλ᾽ ἧκεν εὐθὺς πρὸς τὸν Κικέρωνα, πληγεὶς ὑπὸ τοῦ δεινοῦ, καί τι τῆς αἰτίας ἀπολυόμενος ἣν ἔσχε διὰ φιλίαν τοῦ Κατιλίνα.

Ministerio de Educación, Cultura y Deporte

Βουλευσάμενος οὖν ὁ Κικέρων, ἅμ' ἡμέρᾳ βουλὴν συνήγαγε, καὶ τὰς ἐπιστολὰς κομίσας ἀπέδωκεν οἷς ἦσαν ἐπεσταλμέναι, κελεύσας φανερῶς ἀναγνῶναι. πᾶσαι δ' ἦσαν ὁμοίως ἐπιβουλὴν φράζουσαι. ἐπεὶ δὲ καὶ Κόϊντος Ἄρριος ἀνὴρ στρατηγικὸς ἀπήγγειλε τοὺς ἐν Τυρρηνίᾳ καταλοχισμοὺς, καὶ Μάλλιος ἀπηγγέλλετο σὺν χειρὶ μεγάλῃ περὶ τὰς πόλεις ἐκείνας αἰωρούμενος ἀεί τι προσδοκᾶν καινὸν ἀπὸ τῆς Ῥώμης, γίνεται δόγμα τῆς βουλῆς, παρακαταθέσθαι τοῖς ὑπάτοις τὰ πράγματα. δεξαμένοις δ' ἐκείνους, ὡς ἐπίστανται διοικεῖν καὶ σώζειν τὴν πόλιν. τοῦτο δ' οὐ πολλάκις, ἀλλ' ὅταν τι μέγα δείσῃ, ποιεῖν εἴωθεν ἡ σύγκλητος.

Ἐπεὶ δὲ ταύτην λαβὼν τὴν ἐξουσίαν ὁ Κικέρων τὰ μὲν ἔξω πράγματα Κοΐντῳ Μετέλλῳ διεπίστευσε, τὴν δὲ πόλιν εἶχε διὰ χειρὸς, καὶ καθ' ἡμέραν προῄει δορυφορούμενος ὑπ' ἀνδρῶν τοσούτων τὸ πλῆθος, ὥστε τῆς ἀγορᾶς πολὺ μέρος κατέχειν ἐμβάλλοντος αὐτοῦ τοὺς παραπέμποντας. οὐκέτι καρτερῶν τὴν μέλλησιν ὁ Κατιλίνας, αὐτὸς μὲν ἐκπηδᾶν ἔγνω πρὸς τὸν Μάλλιον ἐπὶ τὸ στράτευμα· καὶ Μάρκιον δὲ καὶ Κέθηγον ἐκέλευσε ξίφη λαβόντας ἐλθεῖν ἐπὶ τὰς θύρας ἕωθεν, ὡς ἀσπασομένους τὸν Κικέρωνα, καὶ διαχρήσασθαι προσπεσόντας. τοῦτο Φουλβία γυνὴ τῶν ἐπιφανῶν



Ministerio de Educación, Cultura y Deporte

ἐξαγγέλλει τῷ Κικέρωνι, νυκτὸς ἐλθοῦσα, καὶ διακελευσαμένη φυλάττεσθαι τοὺς περὶ τὸν Κέθηγον. οἱ δ' ἧκον ἅμ' ἡμέρᾳ· καὶ κωλυθέντες εἰσελθεῖν, ἠγανάκτουν, καὶ κατεβόων ἐπὶ θύραις, ὥστε ὑποπτότεροι γενέσθαι.

Προελθὼν δ' ὁ Κικέρων, ἐκάλει τὴν σύγκλητον εἰς τὸ τοῦ Στησίου Διὸς ἱερὸν, ὃν Στάτωρα Ῥωμαῖοι καλοῦσιν, ἱδρυμένον ἐν ἀρχῇ τῆς ἱερᾶς ὁδοῦ, πρὸς τὸ Παλάτιον ἀνιόντων. ἐνταῦθα καὶ τοῦ Κατιλίνα μετὰ τῶν ἄλλων ἐλθόντος, ὡς ἀπολογησομένου, συγκαθίσαι μὲν οὐδεὶς ὑπέμεινε τῶν συγκλητικῶν, ἀλλὰ πάντες ἀπὸ τοῦ βάθρου μετῆλθον. ἀρξάμενος δὲ λέγειν ἐθορυβεῖτο. καὶ τέλος ἀναστὰς ὁ Κικέρων, προσέταξεν αὐτῷ τῆς πόλεως ἀπαλλάττεσθαι· δεῖν γὰρ, αὐτοῦ μὲν λόγοις, ἐκείνου δ' ὅπλοις πολιτευομένου, μέσον εἶναι τὸ τεῖχος.

Ὁ μὲν οὖν Κατιλίνας εὐθὺς ἐξελθὼν μετὰ τριακοσίων ὁπλοφόρων, καὶ περιστησάμενος αὑτῷ ῥαβδουχίας, ὡς ἄρχοντι, καὶ πελέκεις, καὶ σημαίας ἐπαράμενος, πρὸς τὸν Μάλλιον ἐχώρει καὶ δισμυρίων ὁμοῦ τι συνηθροισμένων, ἐπῄει τὰς πόλεις ἀναπείθων καὶ ἀφιστάς· ὥστε τοῦ πολέμου φανεροῦ γενομένου, τὸν Ἀντώνιον ἀποσταλῆναι διαμαχούμενον. τοὺς δ' ὑπολειφθέντας ἐν τῇ πόλει τῶν διεφθαρμένων ὑπὸ τοῦ Κατιλίνα, συνῆγε καὶ πα-

ρεθάῤῥει Κορνήλιος Λέντλος, Σούρας ἐπίκλησιν, ἀνὴρ γένους μὲν ἐνδόξου, βεβιωκὼς δὲ φαύλως, καὶ δι' ἀσέλγειαν ἐξεληλαμένος τῆς βουλῆς πρότερον· τότε δὲ στρατηγῶν τὸ δεύτερον, ὡς ἔθος ἐστὶ τοῖς ἐξ ὑπαρχῆς ἀνακτωμένοις τὸ βουλευτικὸν ἀξίωμα.

Λέγεται δὲ καὶ τὴν ἐπίκλησιν αὐτῷ γενέσθαι τὸν Σούραν ἐξ αἰτίας τοιαύτης· ἐν τοῖς κατὰ Σύλλαν χρόνοις ταμιεύων, συχνὰ τῶν δημοσίων χρημάτων ἀπώλεσε καὶ διέφθειρεν· ἀγανακτοῦντος δὲ τοῦ Σύλλα, καὶ λόγον ἀπαιτοῦντος ἐν τῇ συγκλήτῳ, προελθὼν ὀλιγώρως πάνυ καὶ καταφρονητικῶς, λόγον μὲν οὐκ ἔφη διδόναι, παρέχειν δὲ τὴν κνήμην· ὥσπερ πάνυ εἰώθεισαν οἱ παῖδες ὅταν ἐν τῷ σφαιρίζειν ἁμάρτωσιν· ἐκ τούτου Σούρας παρωνομάσθη, σούραν γὰρ οἱ Ῥωμαῖοι τὴν κνήμην λέγουσι. πάλιν δὲ δίκην ἔχων, καὶ διαφθείρας ἐνίους τῶν δικαστῶν, ἐπεὶ δυσὶ μόναις ἀπέφυγε ψήφοις, ἔφη παρανάλωμα γεγονέναι τὸ θατέρῳ κριτῇ δοθέν· ἀρκεῖν γὰρ εἰ καὶ μιᾷ ψήφῳ μόνον ἀπελύθη.

Τοῦτον ὄντα τῇ φύσει τοιοῦτον, κεκινημένον ὑπὸ τοῦ Κατιλίνα, προσδιέφθειραν ἐλπίσι κεναῖς ψευδομάντεις καὶ γόητες, ἔπη πεπλασμένα καὶ χρησμοὺς ᾄδοντες, ὡς ἐκ τῶν Σιβυλλείων προδηλοῦντας εἱμαρμένους εἶναι τῇ Ῥώμῃ Κορνηλίους τρεῖς μονάρχους· ὧν δύο μὲν ἤδη πεπληρω-



Ministerio de Educación, Cultura y Deporte

κέναι τὸ χρεὼν, Κίνναν τε καὶ Σύλλαν, τρίτῳ δὲ λοιπῷ Κορνηλίῳ ἐκείνῳ φέροντα τὴν μοναρχίαν ἥκειν τὸν δαίμονα, καὶ δεῖν πάντως δέχεσθαι, καὶ μὴ διαφθείρειν μέλλοντα τοὺς καιροὺς, ὥσπερ Κατιλίνας.

Οὐδὲν οὖν ἐπενόει μικρὸν ὁ Λέντλος ἢ ἄσημον, ἀλλ' ἐδέδοκτο τὴν βουλὴν ἅπασαν ἀναιρεῖν, τῶν τ' ἄλλων πολιτῶν ὅσους δύναιτο, τὴν πόλιν δ' αὐτὴν καταπιμπράναι· φείδεσθαί τε μηδενὸς ἢ τῶν Πομπηΐου τέκνων. ταῦτα δ' ἐξαρπασαμένους ἔχειν ἐφ' αὐτοῖς, καὶ φυλάττειν, ὅμηρα τῶν πρὸς Πομπήϊον διαλύσεων, ἤδη γὰρ ἐφοίτα πολὺς λόγος καὶ βέβαιος ὑπὲρ αὐτοῦ κατιόντος ἀπὸ τῆς μεγάλης στρατείας.

Καὶ νὺξ μὲν ὥριστο πρὸς τὴν ἐπίθεσιν μία τῶν Κρονιάδων· ξίφη δὲ καὶ στυππεῖα καὶ θεῖον εἰς τὴν Κεθήγου φέροντες οἰκίαν ἀπέκρυψαν· ἄνδρας δὲ τάξαντες ἑκατὸν καὶ μέρη τοσαῦτα τῆς Ῥώμης, ἕκαστον ἐφ' ἑκάστῳ διεκλήρωσαν, ὡς δι' ὀλίγου πολλῶν ἁψάντων, φλέγοιτο πανταχόθεν ἡ πόλις. ἄλλοι δὲ τοὺς ὀχετοὺς ἔμελλον ἐμφράξαντες, ἀποσφάττειν τοὺς ὑδρευομένους.

Πραττομένων δὲ τούτων, ἔτυχον ἐπιδημοῦντες Ἀλλοβρίγων δύο πρέσβεις, ἔθνους μάλιστα δὴ τότε πονηρὰ πράττοντος, καὶ βαρυνομένου τὴν ἡγε-

Ministerio de Educación, Cultura y Deporte

μονίαν. τούτους οἱ περὶ Λέντλον ὠφελίμους ἡγούμενοι πρὸς τὸ κινῆσαι καὶ μεταβαλεῖν τὴν Γαλατίαν, ἐποιήσαντο συνωμότας. καὶ γράμματα μὲν αὐτοῖς πρὸς τὴν ἐκεῖ βουλὴν, γράμματα δὲ πρὸς Κατιλίναν ἔδοσαν, τῇ μὲν ὑπισχνούμενοι τὴν ἐλευθερίαν, τὸν δὲ Κατιλίναν παρακαλοῦντες, ἐλευθερώσαντα τοὺς δούλους, ἐπὶ τὴν Ῥώμην ἐλαύνειν.

Συναπέστελλον δὲ μετ᾽ αὐτῶν πρὸς τὸν Κατιλίναν, Τίτον τινὰ Κρωτωνιάτην, κομίζοντα τὰς ἐπιστολάς. οἷα δὲ ἀνθρώπων ἀσταθμήτων, καὶ μετ᾽ οἴνου τὰ πολλὰ καὶ γυναικῶν ἀλλήλοις ἐντυγχανόντων, βουλεύματα, πόνῳ καὶ λογισμῷ νήφοντι καὶ συνέσει περιττῇ διώκων ὁ Κικέρων, καὶ πολλοὺς μὲν ἔχων ἔξωθεν ἐπισκοποῦντας τὰ πραττόμενα καὶ συνεξιχνεύοντας αὐτῷ· πολλοῖς δὲ τῶν μετέχειν δοκούντων τῆς συνωμοσίας διαλεγόμενος κρύφα, καὶ πιστεύων, ἔγνω τὴν πρὸς τοὺς ξένους κοινολογίαν· καὶ νυκτὸς ἐνεδρεύσας, ἔλαβε τὸν Κροτωνιάτην καὶ τὰ γράμματα, συνεργούντων ἀλλήλοις ἀδήλως τῶν Ἀλλοβρίγων.

Ἅμα δὲ ἡμέρᾳ βουλὴν ἀθροίσας εἰς τὸ τῆς Ὁμονοίας ἱερὸν, ἐξανέγνω τὰ γράμματα, καὶ τῶν μηνυτῶν διήκουσεν. ἔφη δὲ καὶ Σιλανὸς Γούνιος ἀκηκοέναι τινὰς, Κεθήγου λέγοντος, ὡς ὕπατοί τε τρεῖς καὶ

στρατηγοὶ τέτταρες ἀναιρεῖσθαι μέλλουσι. τοιαῦτα δ' ἕτερα καὶ Πείσων, ἀνὴρ ὑπατικὸς, εἰσήγγελε. Γάϊος δὲ Σουλπίκιος, εἷς τῶν στρατηγῶν, ἐπὶ τὴν οἰκίαν πεμφθεὶς τοῦ Κεθήγου, πολλὰ μὲν ἐν αὐτῇ βέλη καὶ ὅπλα, πλεῖστα δὲ ξίφη καὶ μαχαίρας εὗρε νεοθήκτους ἁπάσας. τέλος δὲ τῷ Κροτωνιάτῃ ψηφισαμένης ἄδειαν ἐπὶ μηνύσει τῆς βουλῆς, ἐξελεγχθεὶς ὁ Λέντλος ἀπωμόσατο τὴν ἀρχὴν (στρατηγῶν γὰρ ἐτύγχανε) καὶ τὴν περιπόρφυρον ἐν τῇ βουλῇ καταθέμενος, διήλλαξεν ἐσθῆτα τῇ συμφορᾷ πρέπουσαν.

Οὗτος μὲν οὖν καὶ οἱ σὺν αὐτῷ παρεδόθησαν εἰς ἄδεσμον φυλακὴν τοῖς στρατηγοῖς. ἤδη δ' ἑσπέρας οὔσης, καὶ τοῦ δήμου περιμένοντος ἀθρόου, προελθὼν ὁ Κικέρων, καὶ φράσας τὸ πρᾶγμα τοῖς πολίταις, καὶ προπεμφθεὶς, παρῆλθεν εἰς οἰκίαν φίλου γειτνιῶντος· ἐπεὶ τὴν ἐκείνου γυναῖκες κατεῖχον, ἱεροῖς ἀπορρήτοις ὀργιάζουσαι θεὸν, ἣν Ῥωμαῖοι μὲν Ἀγαθήν, Ἕλληνες δὲ Γυναικείαν ὀνομάζουσι. θύεται δ' αὐτῇ καθ' ἐνιαυτὸν ἐν τῇ οἰκίᾳ τοῦ ὑπάτου, διὰ γυναικὸς ἢ μητρὸς αὐτοῦ, τῶν ἑστιάδων παρθένων παρουσῶν.

Εἰσελθὼν οὖν ὁ Κικέρων, καθ' αὑτὸν, ὀλίγων παντάπασιν αὐτῷ παρόντων, ἐφρόντιζεν ὅπως χρήσαιτο τοῖς ἀνδράσι. τήν τε γὰρ ἄκραν καὶ προσ-

Ministerio de Educación, Cultura y Deporte

ἤκουσαν ἀδικήμασι τηλικούτοις τιμωρίαν ἐξευλαβεῖτο καὶ κατώκνει, δι' ἐπιείκειαν ἤθους ἅμα καὶ ὡς μὴ δοκοίη τῆς ἐξουσίας ἄγαν ἐμφορεῖσθαι, καὶ πικρῶς ἐπεμβαίνειν ἀνδράσι γένει τε πρώτοις, καὶ φίλους δυνατοὺς ἐν τῇ πόλει κεκλημένοις· μαλακώτερόν τε χρησάμενος, ὠρρώδει τὸν ἀπ' αὐτῶν κίνδυνον. οὐ γὰρ ἀναπήσειν, μετριώτερόν τι θανάτου παθόντας, ἀλλ' εἰς ἅπαν ἀναρραγήσεσθαι τόλμης, τῇ παλαιᾷ κακίᾳ νέαν ὀργὴν προσλαβόντας· αὐτός τε δόξειν ἄνανδρος καὶ μαλακός, οὐδ' ἄλλως δοκῶν εὐτολμότατος εἶναι τοῖς πολλοῖς.

Ταῦτα τοῦ Κικέρωνος διαποροῦντος, γίνεταί τι ταῖς γυναιξὶ σημεῖον θυούσαις. ὁ γὰρ βωμός, ἤδη τοῦ πυρὸς κατακεκοιμῆσθαι δοκοῦντος, ἐκ τῆς τέφρας καὶ τῶν κεκαυμένων φλοιῶν φλόγα πολλὴν ἀνῆκε καὶ λαμπράν. ὑφ' ἧς αἱ μὲν ἄλλαι διεπτοήθησαν, αἱ δ' ἱεραὶ παρθένοι τὴν τοῦ Κικέρωνος γυναῖκα Τερεντίαν ἐκέλευσαν ᾗ τάχος χωρεῖν πρὸς τὸν ἄνδρα, καὶ κελεύειν οἷς ἔγνωκεν ἐγχειρεῖν ὑπὲρ τῆς πατρίδος, ὡς μέγα πρός τε σωτηρίαν καὶ δόξαν αὐτοῦ τῆς θεοῦ φῶς διδούσης. ἡ δὲ Τερεντία (καὶ γὰρ οὐδ' ἄλλως ἦν πρᾳεῖά τις οὐδ' ἄτολμος τὴν φύσιν, ἀλλὰ φιλότιμος γυνὴ καὶ μᾶλλον, ὡς αὐτός φησιν ὁ Κικέρων, τῶν πολιτικῶν μεταλαμβάνουσα παρ' ἐκείνου φροντίδων, ἢ μεταδιδοῦσα τῶν οἰκειακῶν

Ministerio de Educación, Cultura y Deporte

ἐκείνῳ) ταῦτά τε πρὸς αὐτὸν ἔφρασε, καὶ παρώξυνεν ἐπὶ τοὺς ἄνδρας. ὁμοίως δὲ Κόϊντος ὁ ἀδελφὸς, καὶ τῶν ἀπὸ φιλοσοφίας ἑταίρων, Πόπλιος Νιγίδιος, ᾧ τὰ πλεῖστα καὶ μέγιστα παρὰ τὰς πολιτικὰς ἐχρῆτο πράξεις.

Τῇ δ᾽ ὑστεραίᾳ γενομένων ἐν συγκλήτῳ λόγων περὶ τιμωρίας τῶν ἀνδρῶν, ὁ πρῶτος ἐρωτηθεὶς γνώμην Σιλανὸς, εἶπε, τὴν ἐσχάτην δίκην δοῦναι προσήκειν, ἀχθέντας εἰς τὸ δεσμωτήριον, καὶ προσετίθεντο τούτῳ πάντες ἐφεξῆς, μέχρι Γαΐου Καίσαρος, τοῦ μετὰ ταῦτα δικτάτωρος γενομένου. τότε δὲ νέος ὢν ἔτι, καὶ τὰς πρώτας ἔχων τῆς αὐξήσεως ἀρχὰς, ἤδη δὲ τῇ πολιτείᾳ καὶ ταῖς ἐλπίσιν εἰς ἐκείνην τὴν ὁδὸν ἐμβεβηκὼς ᾗ τὰ Ῥωμαίων εἰς μοναρχίαν μετέστησε πράγματα, τοὺς μὲν ἄλλους ἐλάνθανε, τῷ δὲ Κικέρωνι πολλὰς μὲν ὑποψίας, λαβὴν δ᾽ οὐδεμίαν εἰς ἔλεγχον παρέδωκεν, ἀλλὰ καὶ λεγόντων ἦν ἐνίων ἀκούειν ὡς ἐγγὺς ἐλθὼν ἁλῶναι, διεκφύγοι τὸν ἄνδρα. τινὲς δέ φασι παριδεῖν ἑκόντα καὶ παραλιπεῖν τὴν κατ᾽ ἐκείνου μήνυσιν, φόβῳ τῶν φίλων αὐτοῦ καὶ τῆς δυνάμεως. παντὶ γὰρ εἶναι πρόδηλον ὅτι μᾶλλον ἂν ἐκεῖνοι γένοιντο προσθήκη Καίσαρι σωτηρίας, ἢ Καῖσαρ ἐκείνοις κολάσεως.

Ἐπεὶ δ᾽ οὖν ἡ γνώμη περιῆλθεν εἰς αὐτὸν, ἀνα-

Ministerio de Educación, Cultura y Deporte

στὰς ἀπεφήνατο, μὴ θανατοῦν τοὺς ἄνδρας, ἀλλὰ τὰς οὐσίας εἶναι δημοσίας, αὐτοὺς δ' ἀπαχθέντας εἰς πόλεις τῆς Ἰταλίας ἃς δοκῇ Κικέρωνι, τηρεῖσθαι δεδεμένους, ἄχρις ἂν οὗ καταπολεμηθῇ Κατιλίνας. οὔσης δὲ τῆς γνώμης ἐπιεικοῦς, καὶ τοῦ λέγοντος εἰπεῖν δυνατωτάτου, ῥοπὴν ὁ Κικέρων προσέθηκεν οὐ μικράν. αὐτός τε γὰρ ἀναστὰς ἐνεχείρησεν εἰς ἑκάτερον, τὰ μὲν τῇ προτέρᾳ, τὰ δὲ τῇ γνώμῃ Καίσαρος συνειπών· οἵ τε φίλοι πάντες, οἰόμενοι τῷ Κικέρωνι συμφέρειν τὴν Καίσαρος γνώμην, (ἧττον γὰρ ἐν αἰτίαις ἔσεσθαι μὴ θανατώσαντα τοὺς ἄνδρας) ᾑροῦντο τὴν δευτέραν μᾶλλον γνώμην, ὥστε καὶ τὸν Σιλανὸν αὖθις μεταβαλλόμενον παραιτεῖσθαι, καὶ λέγειν ὡς οὐδ' αὐτὸς εἴποι θανατικὴν γνώμην. ἐσχάτην γὰρ ἀνδρὶ βουλευτῇ Ῥωμαίων εἶναι δίκην τὸ δεσμωτήριον.

Εἰρημένης δὲ τῆς γνώμης, πρῶτος ἀντέκρουσεν αὐτῇ Κάτλος Λυτάτιος. εἶτα δεξάμενος Κάτων, καὶ τῷ λόγῳ σφοδρῶς συναπερείσας ἐπὶ τὸν Καίσαρα τὴν ὑπόνοιαν, ἐνέπλησε θυμοῦ καὶ φρονήματος τὴν σύγκλητον, ὥστε θάνατον καταψηφίσασθαι τῶν ἀνδρῶν. περὶ δὲ δημεύσεως χρημάτων ἐνίστατο Καῖσαρ, οὐκ ἀξιῶν τὰ φιλάνθρωπα τῆς ἑαυτοῦ γνώμης ἐκβαλόντας, ἑνὶ χρήσασθαι τῷ σκυθρωποτάτῳ. βιαζομένων δὲ πολλῶν, ἐπικαλεῖτο τοὺς

Ministerio de Educación, Cultura y Deporte

δημάρχοις· οἱ δ' οὐχ ὑπήκουον, ἀλλὰ Κικέρων αὐτὸς ἐνδοὺς ἀνῆκε τὴν περὶ δημεύσεως γνώμην. ἐχώρει δὲ μετὰ τῆς βουλῆς ἐπὶ τοὺς ἄνδρας. οὐκ ἐν ταυτῷ δὲ πάντες ἦσαν, ἄλλος δ' ἄλλον ἐφύλαττε τῶν στρατηγῶν.

Καὶ πρῶτον ἐκ Παλατίου παραλαβὼν τὸν Λέντλον, ἦγε διὰ τῆς ἱερᾶς ὁδοῦ, καὶ τῆς ἀγορᾶς μέσης, τῶν μὲν ἡγεμονικωτάτων ἀνδρῶν κύκλῳ περιεσπειραμένων καὶ δορυφορούντων, τοῦ δὲ δήμου φρίττοντος τὰ δρώμενα, καὶ παριόντος σιωπῇ. μάλιστα δὲ τῶν νέων, ὥσπερ ἱεροῖς τισι πατρίοις, ἀριστοκρατικῆς τινος ἐξουσίας, τελεῖσθαι μετὰ φόβου καὶ θάμβους δοκούντων. διελθὼν δὲ τὴν ἀγορὰν, καὶ γενόμενος πρὸς τῷ δεσμωτηρίῳ, παρέδωκε τὸν Λέντλον τῷ δημίῳ, καὶ προσέταξεν ἀνελεῖν. εἶθ' ἑξῆς τὸν Κέθηγον, καὶ οὕτω τῶν ἄλλων ἕκαστον καταγαγὼν ἀπέκτεινεν.

Ὁρῶν δὲ πολλοὺς ἔτι τῆς συνωμοσίας ἐν ἀγορᾷ συνεστῶτας ἀθρόους, καὶ τὴν μὲν πρᾶξιν ἀγνοοῦντας, τὴν δὲ νύκτα προσμένοντας, ὡς ἔτι ζώντων τῶν ἀνδρῶν καὶ δυναμένων ἐξαρπασθῆναι, φθεγξάμενος μέγα πρὸς αὐτοὺς, Ἔζησαν, εἶπεν. οὕτω δὲ Ῥωμαίων οἱ δυσφημεῖν μὴ βουλόμενοι, τὸ τεθνάναι σημαίνουσιν.

Ἤδη δ' ἦν ἑσπέρα, καὶ δι' ἀγορᾶς ἀνέβαινεν εἰς

Ministerio de Educación, Cultura y Deporte

τὴν οἰκίαν, οὐκέτι σιωπῇ τῶν πολιτῶν οὐδὲ τάξει προπεμπόντων αὐτὸν, ἀλλὰ φωναῖς καὶ κρότοις δεχομένων καθ᾽ οὓς γένοιτο, σωτῆρα καὶ κτίστην ἀνακαλούντων τῆς πατρίδος. τὰ δὲ φῶτα πολλὰ κατέλαμπε τοὺς στενωποὺς, λαμπάδια καὶ δᾷδας ἱστώντων ἐπὶ ταῖς θύραις. αἱ δὲ γυναῖκες ἐκ τῶν τεγῶν, προὔφαινον ἐπὶ τιμῇ καὶ θέᾳ τοῦ ἀνδρὸς, ὑπὸ πομπῇ τῶν ἀρίστων μάλα σεμνῶς ἀνιόντος. ὧν οἱ πλεῖστοι πολέμους τε κατειργασμένοι μεγάλους, καὶ διὰ θριάμβων εἰσεληλακότες, καὶ προσκεκτημένοι γῆν καὶ θάλατταν οὐκ ὀλίγην, ἐβάδιζον ἀνομολογούμενοι πρὸς ἀλλήλους, πολλοῖς μὲν τῶν τότε ἡγεμόνων καὶ στρατηγῶν πλούτου καὶ λαφύρων καὶ δυνάμεως χάριν ὀφείλειν τὸν Ῥωμαίων δῆμον, ἀσφαλείας δὲ καὶ σωτηρίας, ἐν μόνῳ Κικέρωνι, τηλικοῦτον ἀφελόντι καὶ τοσοῦτον αὐτοῦ κίνδυνον. οὐ γὰρ τὸ κωλῦσαι τὰ πραττόμενα, καὶ κολάσαι τοὺς πράττοντας, ἐδόκει θαυμαστὸν, ἀλλ᾽ ὅτι μέγιστον τῶν πώποτε νεωτερισμῶν, οὗτος ἐλαχίστοις κακοῖς ἄνευ στάσεως καὶ ταραχῆς κατέσβεσε.

Καὶ γὰρ τὸν Κατιλίναν οἱ πλεῖστοι τῶν συνερρυηκότων πρὸς αὐτὸν, ἅμα τῷ πυθέσθαι τὰ περὶ Λέντλον καὶ Κέθηγον, ἐγκαταλιπόντες ᾤχοντο. καὶ μετὰ τῶν συμμεμενηκότων αὐτῷ διαγωνισάμενος

Ministerio de Educación, Cultura y Deporte

πρὸς Ἀντώνιον, αὐτός τε διεφθάρη καὶ τὸ στρατόπεδον. οὐ μὴν ἀλλ' ἦσαν οἱ τὸν Κικέρωνα παρεσκευασμένοι καὶ λέγειν ἐπὶ τούτοις καὶ ποιεῖν κακῶς· ἔχοντες ἡγεμόνας τῶν εἰς τὸ μέλλον ἀρχόντων, Καίσαρα μὲν στρατηγοῦντα, Μέτελλον δὲ καὶ Βηστίαν δημαρχοῦντας. οἳ τὴν ἀρχὴν παραλαβόντες, ἔτι τοῦ Κικέρωνος ἡμέρας ὀλίγας ἄρχοντος, οὐκ εἴων δημηγορεῖν αὐτὸν, ἀλλ' ὑπὲρ τῶν ἐμβόλων βάθρα θέντες, οὐ παρίεσαν, οὐδ' ἐπέτρεπον λέγειν. ἀλλ' ἐκέλευον, εἰ βούλοιτο μόνον περὶ τῆς ἀρχῆς ἀπομόσασθαι, καταβαίνειν.

Κἀκεῖνος ἐπὶ τούτοις ὡς ὀμόσων προῆλθε. καὶ γενομένης αὐτῷ σιωπῆς, ὤμνυεν οὐ τὸν πάτριον ἀλλ' ἴδιόν τινα καὶ καινὸν ὅρκον, ἦ μὴν σεσωκέναι τὴν πατρίδα, καὶ διατετηρηκέναι τὴν ἡγεμονίαν. ἐπώμνυε δὲ τὸν ὅρκον αὐτῷ σύμπας ὁ δῆμος. ἐφ' οἷς ἔτι μᾶλλον ὅ τε Καῖσαρ οἵ τε χιλίαρχοι χαλεπαίνοντες, ἄλλας τε τῷ Κικέρωνι ταραχὰς ἐμηχανῶντο. καὶ νόμος ὑπ' αὐτῶν εἰσήγετο, καλεῖν Πομπήιον μετὰ τῆς στρατιᾶς, ὡς δὴ καταλύσοντα τὴν Κικέρωνος δυναστείαν.

Ἀλλ' ἦν ὄφελος μέγα τῷ Κικέρωνι καὶ πάσῃ τῇ πόλει δημαρχῶν τότε Κάτων, καὶ τοῖς ἐκείνου πολιτεύμασιν, ἀπ' ἴσης μὲν ἐξουσίας, μείζονος δὲ δόξης, ἀντιταττόμενος. τά τε γὰρ ἄλλα ῥᾳδίως

ἔλυσε,

ἔλυσε, καὶ τὴν Κικέρωνος ὑπατείαν οὕτως ἦρε τῷ λόγῳ μεγάλην, δημηγορήσας, ὥστε τιμὰς αὐτοῦ τῶν πώποτε μεγίστας ψηφίσασθαι, καὶ προσαγορεῦσαι πατέρα πατρίδος. πρώτῳ γὰρ ἐκείνῳ δοκεῖ τοῦτο καθυπάρξαι, Κάτωνος αὐτὸν οὕτως ἐν τῷ δήμῳ προσαγορεύσαντος.

Καὶ μέγιστον μὲν ἴσχυσεν ἐν τῇ πόλει τότε πολλοῖς δ᾽ ἐπίφθονον ἑαυτὸν ἐποίησεν ἀπ᾽ οὐδενὸς ἔργου πονηροῦ, τῷ δ᾽ ἐπαινεῖν ἀεὶ καὶ μεγαλύνειν αὐτὸς ἑαυτὸν, ὑπὸ πολλῶν δυσχεραινόμενος. οὔτε γὰρ βουλὴν, οὔτε δῆμον, οὔτε δικαστήριον ἦν συνελθεῖν, ἐν ᾧ μὴ Κατιλίναν ἔδει θρυλλούμενον ἀκοῦσαι καὶ Λέντλον. ἀλλὰ καὶ τὰ βιβλία τελευτῶν κατέπλησε καὶ τὰ συγγράμματα τῶν ἐγκωμίων, καὶ τὸν λόγον ἥδιστον ὄντα καὶ χάριν ἔχοντα πλείστην, ἐπαχθῆ καὶ φορτικὸν ἐποίησε τοῖς ἀκροωμένοις, ὥσπερ τινὸς ἀεὶ κηρὸς αὐτῷ τῆς ἀηδίας ταύτης προσούσης. ὅμως δὲ καίπερ οὕτως ἀκράτῳ φιλοτιμίᾳ συνὼν, ἀπήλλακτο τοῦ φθονεῖν ἑτέροις, ἀφθονώτατος ὢν ἐν τῷ τοὺς πρὸ αὐτοῦ καὶ τοὺς καθ᾽ αὑτὸν ἄνδρας ἐγκωμιάζειν, ὡς ἐκ τῶν συγγραμμάτων λαβεῖν ἐστι.

Πολλὰ δ᾽ αὐτοῦ καὶ ἀπομνημονεύουσιν· οἷον περὶ Ἀριστοτέλους, ὅτι χρυσίου ποταμὸς εἴη ῥέοντος. καὶ περὶ τῶν Πλάτωνος διαλόγων, ὡς τοῦ Διὸς, οἱ

λόγῳ χρῆσθαι πέφυκεν, οὕτω διαλεγομένου. τὸν δὲ Θεόφραστον εἰώθει τρυφὴν ἰδίαν ἀποκαλεῖν. περὶ δὲ τῶν Δημοσθένους λόγων ἐρωτηθεὶς τίνα δοκοίη κάλλιστον εἶναι, τὸν μέγιστον εἶπε. καίτοι τινὲς τῶν προσποιουμένων δημοσθενίζειν, ἐπιφύονται φωνῇ τοῦ Κικέρωνος, ἣν πρός τινας τῶν ἑταίρων ἔθηκεν ἐν ἐπιστολῇ γράψας, ἐνιαχοῦ τῶν λόγων ἀπονυστάζειν τὸν Δημοσθένην. τῶν δὲ μεγάλων καὶ θαυμαστῶν ἐπαίνων οἷς πολλαχοῦ χρῆται περὶ τοῦ ἀνδρὸς, καὶ ὅτι περὶ οὓς μάλιστα τῶν ἰδίων ἐσπούδασε λόγων, τοὺς κατ᾽ Ἀντωνίου, Φιλιππικοὺς ἐπέγραψεν, ἀμνημονοῦσι.

Τῶν δὲ κατ᾽ αὐτὸν ἐνδόξων ἀπὸ λόγου καὶ σοφίας οὐκ ἔστιν οὐδεὶς ὃν οὐκ ἐποίησεν ἐνδοξότερον, ἢ λέγων ἢ γράφων εὐμενῶς περὶ ἑκάστου. Κρατίππῳ δὲ τῷ περιπατητικῷ διεπράξατο μὲν Ῥωμαίῳ γενέσθαι παρὰ Καίσαρος ἄρχοντος ἤδη· διεπράξατο δὲ τὴν ἐξ Ἀρείου πάγου βουλὴν ψηφίσασθαι, καὶ δεηθῆναι μένειν αὐτὸν ἐν Ἀθήναις, καὶ διαλέγεσθαι τοῖς νέοις, ὡς κοσμοῦντα τὴν πόλιν. ἐπιστολαὶ δὲ παρὰ τοῦ Κικέρωνος εἰσὶ πρὸς Ἡρώδην, ἕτεραι δὲ πρὸς τὸν υἱὸν, ἐγκελευομένου συμφιλοσοφεῖν Κρατίππῳ. Γοργίαν δὲ τὸν ῥήτορα αἰτιώμενος εἰς ἡδονὰς καὶ πότους προάγειν τὸ μειράκιον, ἀπελαύνει τῆς συνουσίας αὐτοῦ.

Ministerio de Educación, Cultura y Deporte

Καὶ σχεδὸν αὕτη τε τῶν Ἑλληνικῶν μία, καὶ δευτέρα πρὸς Πέλοπα τὸν Βυζάντιον ἐν ὀργῇ τινι γέγραπται. τὸν μὲν Γοργίαν αὐτοῦ προσηκόντως ἐπισκώπτοντος, εἴπερ ἦν φαῦλος καὶ ἀκόλαστος, ᾗπερ ἐδόκει· πρὸς δὲ τὸν Πέλοπα μικρολογουμένου καὶ μεμψιμοιροῦντος, ὥσπερ ἀμελήσαντα τιμάς τινας αὐτοῦ καὶ ψηφίσματα παρὰ Βυζαντίων γενέσθαι· ταῦτά τε δὴ φιλότιμα, καὶ τὸ πολλάκις ἐπαιρομένου τοῦ λόγου τῇ δεινότητι τὸ πρέπον προΐεσθαι.

Μουνατίῳ μὲν γάρ ποτε συνηγορήσας, ὡς ἀποφυγὼν τὴν δίκην ἐκεῖνος, ἐδίωκεν ἑταῖρον αὐτοῦ Σαβῖνον, οὕτω λέγεται προσπεσεῖν ὑπ᾽ ὀργῆς ὁ Κικέρων, ὥστ᾽ εἰπεῖν, Σὺ γὰρ ἐκείνην, ὦ Μουνάτιε, τὴν δίκην ἀπέφυγες διὰ σαυτόν, οὐκ ἐμοῦ πολὺ σκότος ἐν φωτὶ τῷ δικαστηρίῳ περιχέαντος;

Μάρκον δὲ Κράσσον ἐγκωμιάζων ἀπὸ τοῦ βήματος εὐημέρησε· καὶ μεθ᾽ ἡμέρας αὖθις ὀλίγας λοιδορῶν αὐτόν, ὡς ἐκεῖνος εἶπεν, Οὐ γὰρ ἐνταῦθα πρώην αὐτὸς ἡμᾶς ἐπῄνεις; Ναί (φησί) μελέτης ἕνεκεν γυμνάζων τὸν λόγον εἰς φαύλην ὑπόθεσιν.

Εἰπόντος δέ ποτε τοῦ Κράσσου μηδένα Κράσσων ἐν Ῥώμῃ βεβιωκέναι μακρότερον ἑξηκονταετίας, εἶθ᾽ ὕστερον ἀρνουμένου καὶ λέγοντος, Τί δ᾽ ἂν ἐγὼ παθὼν τοῦτ᾽ εἶπον, Ἤδεις (ἔφη) Ῥωμαίους ἡδέως ἀκουσομένους, καὶ διὰ τοῦτο ἐδημαγώγεις.



Ministerio de Educación, Cultura y Deporte

Ἀρέσκεσθαι δὲ τοῦ Κράσσου τοῖς Στωϊκοῖς φήσαντος, ὅτι πλούσιον εἶναι τὸν ἀγαθὸν ἀποφαίνουσιν, Ὅρα μὴ μᾶλλον (εἶπεν) ὅτι πάντα τοῦ σοφοῦ λέγουσιν εἶναι. διεβάλλετο δὴ εἰς φιλαργυρίαν ὁ Κράσσος.

Ἐπεὶ δὲ τῶν Κράσσου τῶν παίδων ὁ ἕτερος, Ἀξίῳ τινὶ δοκῶν ὅμοιος εἶναι, καὶ διὰ τοῦτο τῇ μητρὶ προστριβόμενος αἰσχρὰν ἐπὶ τῷ Ἀξίῳ διαβολὴν, εὐδοκίμησε λόγον ἐν βουλῇ διελθὼν, ἐρωτηθεὶς ὁ Κικέρων τί φαίνεται αὐτῷ, Ἄξιος (εἶπε) Κράσσου.

Μέλλων δὲ Κράσσος εἰς Συρίαν ἀπαίρειν, ἐβούλετο τὸν Κικέρωνα μᾶλλον αὐτῷ φίλον ἢ ἐχθρὸν εἶναι. καὶ φιλοφρονούμενος ἔφη βούλεσθαι δειπνῆσαι παρ᾽ αὐτῷ. κἀκεῖνος ὑπεδέξατο προθύμως. ὀλίγαις δ᾽ ὕστερον ἡμέραις περὶ Βατινίου φίλων τινῶν ἐντυγχανόντων, ὡς μνωμένου διαλύσεις καὶ φιλίαν (ἦν γὰρ ἐχθρὸς) Οὐ δήπου καὶ Βατίνιος (εἶπεν) δειπνῆσαι παρ᾽ ἐμοὶ βούλεται; πρὸς μὲν οὖν Κράσσον τοιοῦτος.

Αὐτὸν δὲ τὸν Βατίνιον ἔχοντα χοιράδας ἐν τῷ τραχήλῳ, καὶ λέγοντα δίκην, οἰδοῦντα ῥήτορα προσεῖπεν. ἀκούσας δ᾽ ὅτι τέθνηκεν, (εἶτα μετὰ μικρὸν πυθόμενος σαφῶς ὅτι ζῇ, Κακῶς τοίνυν ἀπόλοιτο κακῶς ὁ ψευσάμενος.)

Ministerio de Educación, Cultura y Deporte

Ἐπεὶ δὲ Καίσαρι ψηφισαμένῳ τὴν ἐν Καμπανίᾳ χώραν καλανεμηθῆναι τοῖς στρατιώταις, πολλοὶ μὲν ἐδυσχέραινον ἐν τῇ βουλῇ· Λεύκιος δὲ Γέλλιος ὁ μοῦ τι πρεσβύταλος ὢν, εἶπεν ὡς οὐ γενήσεται τοῦτο ζῶντος αὐτοῦ, Περιμείνωμεν (εἶπεν ὁ Κικέρων) μακρὰν γὰρ οὐκ αἰτεῖται Γέλλιος ὑπέρθεσιν.

Ἦν δέ τις Ὀκταούιος αἰτίαν ἔχων ἐκ Λιβύης γεγονέναι. πρὸς τοῦτον ἔν τινι δίκῃ λέγοντα τοῦ Κικέρωνος μὴ ἐξακούειν, Καὶ μὴν οὐκ ἔχεις (εἶπε) τὸ οὖς ἀτρύπητον.

Μετέλλου δὲ Νέπωτος εἰπόντος ὅτι πλείονας καταμαρτυρῶν ἀνῄρηκεν, ἢ συνηγορῶν σέσωκεν. ὁμολογῶ γὰρ (ἔφη) πίστεως ἐν ἐμοὶ πλέον ἢ δεινότητος.

Νεανίσκου δέ τινος, αἰτίαν ἔχοντος ἐν πλακοῦντι φάρμακον τῷ πατρὶ δεδωκέναι, θρασυνομένου καὶ λέγοντος ὅτι λοιδορήσει τὸν Κικέρωνα, Τοῦτο (ἔφη) παρὰ σοῦ βούλομαι μᾶλλον ἢ πλακοῦντα.

Ποπλίου δὲ Σηστίου συνήγορον μὲν αὐτὸν ἔν τινι δίκῃ παραλαβόντος μεθ᾽ ἑτέρων, αὐτοῦ δὲ πάντα βουλομένου λέγειν, καὶ μηδενὶ παριέντος εἰπεῖν, ὡς δῆλος ἦν ἀφιέμενος ὑπὸ τῶν δικαστῶν, ἤδη τῆς ψήφου φερομένης, Χρῶ σήμερον (ἔφη) τῷ καιρῷ Σήστιε. μέλλεις γὰρ αὔριον ἰδιώτης εἶναι.

Πόπλιον δὲ Κώταν, νομικὸν εἶναι βουλόμενον,



Ministerio de Educación, Cultura y Deporte

ὄντα δ' ἀμαθῆ καὶ ἀφυῆ, πρός τινα δίκην ἐκάλεσε μάρτυρα· τοῦ δὲ μηδὲν εἰδέναι φάσκοντος, Ἴσως (ἔφη) δοκεῖς περὶ τῶν νομικῶν ἐρωτᾶσθαι.

Μετέλλου δὲ Νέπωτος ἐν διαφορᾷ τινι πολλάκις λέγοντος, Τίς σου πατήρ ἐστιν; ὁ Κικέρων, Σοὶ ταύτην τὴν ἀπόκρισιν (ἔφη) ἡ μήτηρ χαλεπωτέραν ἐποίησεν. ἐδόκει δ' ἀκόλαστος ἡ μήτηρ εἶναι τοῦ Νέπωτος, αὐτὸς δέ τις εὐμετάβολος. καί ποτε τὴν δημαρχίαν ἀπολιπὼν ἄφνω, πρὸς Πομπήϊον ἐξέπλευσεν εἰς Συρίαν, εἶτ' ἐκεῖθεν ἐπανῆλθεν ἀλογώτερον. θάψας δὲ Φίλαγρον τὸν καθηγητὴν ἐπιμελέστερον, ἐπέστησεν αὐτοῦ τῷ τάφῳ κόρακα λίθινον. καὶ ὁ Κικέρων, Τοῦτ' (ἔφη) σοφώτερον ἐποίησας· πέτεσθαι γάρ σε μᾶλλον ἢ λέγειν ἐδίδαξεν.

Ἐπεὶ δὲ Μάρκος Ἄππιος ἔν τινι δίκῃ προοιμιαζόμενος εἶπε φίλον αὐτοῦ δεδεῆσθαι παρασχεῖν ἐπιμέλειαν καὶ λογιότητα καὶ πίστιν, Εἶθ' οὕτως (ἔφη) σιδηροῦς γέγονας ἄνθρωπος, ὥστε μηδὲν ἐκ τοσούτων ὧν ᾐτήσατο φίλος παρασχεῖν;

Τὸ μὲν οὖν πρὸς ἐχθροὺς ἢ ἀντιδίκους σκώμμασι χρῆσθαι πικροτέροις, δοκεῖ ῥητορικὸν εἶναι· τὸ δ' οἷς ἔτυχε προσκρούειν ἕνεκα τοῦ γελοίου, πολὺ συνῆγε μῖσος αὐτῷ. γράψω δὲ καὶ τούτων ὀλίγα.

Μάρκον Ἀκυίλιον ἔχοντα δύο γαμβροὺς φυγάδας, Ἄδραστον ἐκάλει.

Ministerio de Educación, Cultura y Deporte

Λευκίου δὲ Κόττα, τιμητικὴν ἔχοντος ἀρχὴν, φιλοινοτάτου δ' ὄντος, ὑπατείαν μετιὼν ὁ Κικέρων ἐδίψησε, καὶ τῶν φίλων κύκλῳ περιστάντων, ὡς ἔπινεν, Ὀρθῶς φοβεῖσθε (εἶπε) μή μοι γένοιτο χαλεπὸς ὁ τιμητὴς, ὅτι ὕδωρ πίνω.

Βωκωνίῳ δ' ἀπαντήσας ἄγοντι μεθ' ἑαυτοῦ τρεῖς ἀμορφοτάτας θυγατέρας ἀνεφθέγξατο, Φοίβου ποτ' οὐκ ἐῶντος ἔσπειρεν τέκνα.

Μάρκου δὲ Γελλίου δοκοῦντος οὐκ ἐξ ἐλευθέρων γεγονέναι, λαμπρᾷ δὲ τῇ φωνῇ καὶ μεγάλῃ γράμματα πρὸς τὴν σύγκλητον ἐξαναγνόντος, Μὴ θαυμάζητε, (εἶπε) καὶ αὐτὸς εἷς ἐστι τῶν ἀναπεφωνηκότων.

Ἐπεὶ δὲ Φαῦστος ὁ Σύλλα τοῦ μοναρχήσαντος ἐν Ῥώμῃ, καὶ πολλοὺς ἐπὶ θανάτῳ προγράψαντος, ἐν δανείοις γενόμενος, καὶ πολλὰ τῆς οὐσίας διασπαθήσας, ἀπαρτίαν προέγραψε, ταύτην (ἔφη) μᾶλλον αὐτῷ τὴν προγραφὴν ἀρέσκειν, ἢ τὴν πατρῴαν.

Ἐκ τούτων ἐγένετο πολλοῖς ἐπαχθής. καὶ οἱ μετὰ Κλωδίου συνέστησαν ἐπ' αὐτὸν, ἀρχὴν τοιαύτην λαβόντες. ἦν Κλώδιος ἀνὴρ εὐγενὴς, τῇ μὲν ἡλικίᾳ νέος, τῷ δὲ φρονήματι θρασὺς καὶ αὐθάδης. οὗτος ἐρῶν Πομπηΐας τῆς Καίσαρος γυναικὸς, εἰς τὴν οἰκίαν αὐτοῦ παρεισῆλθε κρύφα, λαβὼν ἐσθῆτα



Ministerio de Educación, Cultura y Deporte

καὶ σκευὴν ψαλτρίας. ἔθυον γὰρ αἱ γυναῖκες τὴν ἀπόρρητον ἐκείνην καὶ ἀθέατον ἀνδράσι θυσίαν ἐν τῇ τοῦ Καίσαρος οἰκίᾳ. καὶ παρῆν ἀνὴρ οὐδείς. ἀλλὰ μειράκιον ὢν ἔτι καὶ μήπω γενειῶν ὁ Κλώδιος, ἤλπιζε λήσεσθαι διαδὺς πρὸς τὴν Πομπηΐαν μετὰ τῶν γυναικῶν· ὡς δ' εἰσῆλθε νυκτὸς εἰς οἰκίαν μεγάλην, ἠπορεῖτο τῶν διόδων. καὶ πλανώμενον αὐτὸν ἰδοῦσα Αὐρηλίας θεραπαινὶς τῆς Καίσαρος μητρὸς, ᾔτησεν ὄνομα· φθέγξασθαι δ' ἀναγκασθέντος ἐκείνου καὶ φήσαντος ἀκόλουθον Πομπηΐας ζητεῖν Ἄβραν τοὔνομα, συνεῖσα τὴν φωνὴν οὐ γυναικείαν οὖσαν, ἀνέκραξε καὶ συνεκάλει τὰς γυναῖκας. αἱ δ' ἀποκλείσασαι τὰς θύρας, καὶ πάντα διερευνώμεναι, λαμβάνουσι τὸν Κλώδιον εἰς οἴκημα παιδίσκης, ᾗ συνῆλθε, καταπεφευγότα. τοῦ δὲ πράγματος περιβοήτου γενομένου, Καῖσάρ τε τὴν Πομπηΐαν ἀφῆκε, καὶ δίκην ἀσεβείας ἀπεγράψατο τῷ Κλωδίῳ.

Κικέρων δ' ἦν μὲν αὐτοῦ φίλος, καὶ τῶν περὶ Κατιλίναν πραττομένων ἐχρῆτο προθυμοτάτῳ συνεργῷ καὶ φύλακι τοῦ σώματος ἰσχυριζομένου δὲ πρὸς τὸ ἔγκλημα, τῷ μήτε γεγονέναι κατ' ἐκεῖνον ἐν Ῥώμῃ τὸν χρόνον, ἀλλ' ἐν τοῖς πορρωτάτω χωρίοις διατρίβειν, καταμαρτύρησεν ὡς ἀφιγμένου πρὸς αὐτὸν οἴκαδε, καὶ διειλεγμένου περί τινων· ὅπερ ἦν ἀληθές.

Ministerio de Educación, Cultura y Deporte

Οὐ μὴν ἐδόκει μαρτυρεῖν ὁ Κικέρων διὰ τὴν ἀλήθειαν, ἀλλὰ πρὸς τὴν αὐτοῦ γυναῖκα Τερεντίαν ἀπολογούμενος. ἦν γὰρ αὐτῇ πρὸς τὸν Κλώδιον ἀπέχθεια, διὰ τὴν ἀδελφὴν τὴν ἐκείνου Κλωδίαν, ὡς τῷ Κικέρωνι βουλομένην γαμηθῆναι, καὶ τοῦτο διὰ Τύλλου τινὸς πράττουσαν, ὃς ἑταῖρος μὲν ἦν καὶ συνήθης ἐν τοῖς μάλιστα Κικέρωνος, ἀεὶ δὲ πρὸς τὴν Κλωδίαν φοιτῶν καὶ θεραπεύων ἐγγὺς οἰκοῦσαν, ὑποψίαν τῇ Τερεντίᾳ παρέσχε. χαλεπὴ δὲ τὸν τρόπον οὖσα, καὶ τοῦ Κικέρωνος ἄρχουσα, παρώξυνε τῷ Κλωδίῳ συνεπιθέσθαι καὶ καταμαρτυρῆσαι.

Κατεμαρτύρουν δὲ τοῦ Κλωδίου πολλοὶ τῶν καλῶν κἀγαθῶν ἀνδρῶν, ἐπιορκίας, ῥᾳδιουργίας, ὄχλων δεκασμοὺς, φθορὰς γυναικῶν. Λεύκουλλος δὲ καὶ θεραπαινίδας παρεῖχεν, ὡς συγγένοιτο τῇ νεωτάτῃ τῶν ἀδελφῶν ὁ Κλώδιος, ὅτε Λευκούλλῳ συνῴκει. πολλὴ δὲ ἦν δόξα καὶ ταῖς ἄλλαις δυσὶν ἀδελφαῖς πλησιάζειν τὸν Κλώδιον, ὧν Τερεντίαν μὲν Μάρκιος Ῥὴξ, Κλωδίαν δὲ Μέτελλος ὁ Κέλερ εἶχεν, ἣν Κουαδρανταρίαν ἐκάλουν, ὅτι τῶν ἐραστῶν τις αὐτῇ χαλκοῦς ἐμβαλὼν εἰς βαλάντιον, ὡς ἀργύριον ἔπεμψε· τὸ δὲ λεπτότατον τοῦ χαλκοῦ νομίσματος κουαδράντην ἐκάλουν· ἐπὶ ταύτῃ μάλιστα τῶν ἀδελφῶν κακῶς ἤκουσεν ὁ Κλώδιος.

Ministerio de Educación, Cultura y Deporte

Οὐ μὴν ἀλλὰ τότε τοῦ δήμου πρὸς τοὺς καταμαρτυροῦντας αὐτοῦ καὶ συνεστῶτας ἀντιταττομένου, φοβηθέντες οἱ δικασταί, φυλακὴν περιεστήσαντο, καὶ τὰς δέλτους οἱ πλεῖστοι συγκεχυμένας τοῖς γράμμασιν ἤνεγκαν. ὅμως δὲ πλείονες ἔδοξαν οἱ ἀπολύοντες γενέσθαι. καί τις ἐλέχθη καὶ δικασμὸς διῆλθεν· ὅθεν ὁ μὲν Κάτλος ἀπαντήσας τοῖς κριταῖς, Ὑμεῖς (εἶπεν) ὡς ἀληθῶς ὑπὲρ ἀσφαλείας ᾐτήσασθε τὴν φυλακήν, φοβούμενοι μή τις ὑμῶν ἀφέληται τὸ ἀργύριον.

Κικέρων δέ, τοῦ Κλωδίου πρὸς αὐτὸν λέγοντος ὅτι μαρτυρῶν οὐκ ἔσχε πίστιν παρὰ τοῖς δικασταῖς, Ἀλλ' ἐμοὶ μὲν (εἶπεν) οἱ πέντε καὶ εἴκοσι τῶν δικαστῶν ἐπίστευσαν· τοσοῦτοι γὰρ σοῦ κατεψηφίσαντο. σοὶ δὲ τριάκοντα οὐκ ἐπίστευσαν· οὐ γὰρ πρότερον ἀπέλυσαν ἢ ἔλαβον τὸ ἀργύριον. Ὁ μέντοι Καῖσαρ οὐ κατεμαρτύρησε κληθεὶς ἐπὶ τὸν Κλώδιον, οὐδ' ἔφη μοιχείαν κατεγνωκέναι τῆς γυναικός· ἀφεικέναι δ' αὐτήν, ὅτι τὸν Καίσαρος ἔδει γάμον οὐ πράξεως αἰσχρᾶς μόνον, ἀλλὰ καὶ φήμης καθαρὸν εἶναι.

Διαφυγὼν δὲ τὸν κίνδυνον ὁ Κλώδιος, καὶ δήμαρχος αἱρεθείς, εὐθὺς εἴχετο τοῦ Κικέρωνος, πάνθ' ὁμοῦ πράγματα καὶ πάντας ἀνθρώπους συνάγων καὶ ταράττων ἐπ' αὐτόν· τόν τε γὰρ δῆμον ᾠκειώσατο

Ministerio de Educación, Cultura y Deporte

νόμοις φιλανθρώποις, καὶ τῶν ὑπάτων ἑκατέρῳ μεγάλας ἐπαρχίας ἐψηφίσατο· Πείσωνι μὲν Μακεδονίαν, Γαβινίῳ δὲ Συρίαν. πολλοὺς δὲ τῶν ἀπόρων συνέταττεν εἰς τὸ πολίτευμα, καὶ δούλους ὡπλισμένους περὶ αὑτὸν εἶχε. τῶν δὲ πλεῖστον δυναμένων τότε τριῶν ἀνδρῶν, Κράσσου μὲν ἄντικρυς Κικέρωνι πολεμοῦντος, Πομπηΐου δὲ θρυπτομένου πρὸς ἀμφοτέρους, Καίσαρος δὲ μέλλοντος εἰς Γαλατίαν ἐξιέναι μετὰ στρατεύματος· ὑπὸ τοῦτον ὑποδὺς ὁ Κικέρων, καίπερ οὐκ ὄντα φίλον, ἀλλ' ὕποπτον ἐκ τῶν περὶ Κατιλίναν ἠξίωσε πρεσβευτὴν αὐτῷ συστρατεύειν.

Δεξαμένου δὲ τοῦ Καίσαρος, ὁ Κλώδιος ὁρῶν ἐκφεύγοντα τὴν δημαρχίαν αὐτοῦ τὸν Κικέρωνα, προσεποιεῖτο συμβατικῶς ἔχειν, καὶ τῇ Τερεντίᾳ τὴν πλείστην ἀνατιθεὶς αἰτίαν, ἐκείνου δὲ μεμνημένος ἐπιεικῶς ἀεὶ, καὶ λόγους εὐγνώμονας ἐνδιδοὺς, ὡς ἄν τις οὐ μισῶν οὐδὲ χαλεπαίνων, ἀλλ' ἐγκαλῶν μέτρια καὶ φιλικὰ, παντάπασιν αὐτοῦ τὸν φόβον ἀνῆκεν. ὥστ' ἀπειπεῖν τῷ Καίσαρι τὴν πρεσβείαν, καὶ πάλιν ἔχεσθαι τῆς πολιτείας. ἐφ' ᾧ παροξυνθεὶς ὁ Καῖσαρ, τόν τε Κλώδιον ἐπέῤῥωσε καὶ Πομπήϊον ἀπέστρεψε κομιδῇ τοῦ Κικέρωνος. αὐτός τε κατεμαρτύρησεν ἐν τῷ δήμῳ, μὴ δοκεῖν αὐτῷ καλῶς μηδὲ νομίμως ἄνδρας ἀκρίτους ἀνη-

Ministerio de Educación, Cultura y Deporte

ῥῆσθαι τοὺς περὶ Λέντλον καὶ Κέθηγον. αὕτη γὰρ ἦν κατηγορία, καὶ ἐπὶ τούτῳ ὁ Κικέρων ἐκαλεῖτο.

Κινδυνεύων οὖν καὶ διωκόμενος, ἐσθῆτα μετήλλαξε καὶ κόμης ἀνάπλεως περιιὼν ἱκέτευε τὸν δῆμον. πανταχοῦ δ' ὁ Κλώδιος ἀπήντα κατὰ τοὺς στενωποὺς, ἀνθρώπους ἔχων ὑβριστὰς περὶ αὐτὸν καὶ θρασεῖς, οἳ πολλὰ μὲν χλευάζοντες ἀκολάστως εἰς τὴν μεταβολὴν καὶ τὸ σχῆμα τοῦ Κικέρωνος, πολλαχοῦ δὲ πηλῷ καὶ λίθοις βάλλοντες, ἐνίσταντο ταῖς ἱκεσίαις.

Οὐ μὴν ἀλλὰ τῷ Κικέρωνι πρῶτον μὲν ὀλίγου δεῖν σύμπαν τὸ τῶν ἱππικῶν πλῆθος συμμετέβαλε τὴν ἐσθῆτα, καὶ δισμυρίων οὐκ ἐλάττους νέων παρηκολούθουν, κομῶντες καὶ συνικετεύοντες. ἔπειτα τῆς βουλῆς συνελθούσης, ὅπως ψηφίσαιτο τὸν δῆμον ὡς ἐπὶ πένθεσι μεταβαλεῖν τὰ ἱμάτια, καὶ τῶν ὑπάτων ἐναντιωθέντων, Κλωδίου δὲ σιδηροφορουμένου περὶ τὸ βουλευτήριον, ἐξέδραμον οὐκ ὀλίγοι τῶν βουλευτικῶν, καταρρηγνύμενοι τοὺς χιτῶνας, καὶ βοῶντες.

Ὡς δ' ἦν οὔτ' οἶκτος οὔτέ τις αἰδὼς πρὸς τὴν ὄψιν, ἀλλ' ἔδει τὸν Κικέρωνα φεύγειν, ἢ σιδήρῳ κριθῆναι πρὸς τὸν Κλώδιον, ἐδεῖτο Πομπηΐου βοηθεῖν, ἐπίτηδες ἐκποδὼν γεγονότος, καὶ διατρίβοντος ἐν ἀγροῖς περὶ τὸν Ἀλβανόν. καὶ πρῶτον μὲν

Ministerio de Educación, Cultura y Deporte

ἔπεμψε Πείσωνα τὸν γαμβρὸν δεησόμενον, ἔπειτα καὶ αὐτὸς ἀνέβη.

Πυθόμενος δ' ὁ Πομπήϊος, οὐχ ὑπέμεινεν εἰς ὄψιν ἐλθεῖν, (δεινὴ γὰρ αὐτὸν αἰδὼς εἶχε πρὸς τὸν ἄνδρα, μεγάλους ἠγωνισμένον ἀγῶνας ὑπὲρ αὐτοῦ, καὶ πολλὰ πρὸς χάριν ἐκείνῳ πεπολιτευμένον) ἀλλὰ Καίσαρι γαμβρὸς ὢν δεομένῳ προὔδωκε τὰς παλαιὰς χάριτας, καὶ κατ' θύρας ἄλλας ὑπεξελθὼν, ἀπεδίδρασκε τὴν ἔντευξιν.

Οὕτω δὴ προδοθεὶς ὁ Κικέρων ὑπ' αὐτοῦ, καὶ γεγονὼς ἔρημος, ἐπὶ τοὺς ὑπάτους κατέφυγε. καὶ Γαβίνιος μὲν ἦν χαλεπὸς ἀεί· Πείσων δὲ διελέχθη πρᾳότερον, αὐτὸν παραινῶν ἐκστῆναι, καὶ ὑποχωρῆσαι τῇ τοῦ Κλωδίου ῥύμῃ, καὶ τὴν μεταβολὴν τῶν καιρῶν ἐνεγκεῖν, καὶ γενέσθαι πάλιν σωτῆρα τῆς πατρίδος ἐν στάσεσι καὶ κακοῖς δι' ἐκεῖνον οὔσης.

Τοιαύτης τυχὼν ἀποκρίσεως ὁ Κικέρων, ἐβουλεύετο σὺν τοῖς φίλοις. καὶ Λεύκουλλος μὲν ἐκέλευε μένειν ὡς περιεσόμενον, ἄλλοι δὲ φεύγειν, ὡς ταχὺ τοῦ δήμου ποθήσοντος αὐτὸν, ὅταν ἐμπλησθῇ τῆς Κλωδίου μανίας καὶ ἀπονοίας. ταῦτ' ἔδοξε Κικέρωνι· καὶ τὸ μὲν ἄγαλμα τῆς Ἀθηνᾶς, ὃ πολὺν χρόνον ἔχων ἐπὶ τῆς οἰκίας ἱδρυμένον, ἐτίμα διαφερόντως, εἰς Καπιτώλιον κομίσας ἀνέθηκεν, ἐπι-

Ministerio de Educación, Cultura y Deporte

γράψας, ΑΘΗΝΑ ΡΩΜΗΣ ΦΥΛΑΚΙ. πομποὺς δὲ παρὰ τῶν φίλων λαβὼν, περὶ μέσας νύκτας ὑπεξῆλθε τῆς πόλεως, καὶ πεζῇ διὰ Λευκανίας ἐπορεύετο, λαβέσθαι Σικελίας βουλόμενος.

Ὡς δ' ἦν φανερὸς ἤδη πεφευγὼς, ἐπήγαγεν αὐτῷ φυγῆς ψῆφον ὁ Κλώδιος, καὶ διάγραμμα προὔθηκεν, εἴργειν πυρὸς καὶ ὕδατος τὸν ἄνδρα, καὶ μὴ παρέχειν στέγην ἐντὸς μιλίων πεντακοσίων Ἰταλίας. τοῖς μὲν οὖν ἄλλοις ἐλάχιστος ἦν τοῦ διαγράμματος τούτου λόγος, αἰδουμένοις τὸν Κικέρωνα· καὶ πᾶσαν ἐνδεικνύμενοι φιλοφροσύνην, παρέπεμπον αὐτόν. ἐν δ' Ἱππωνίᾳ πόλει τῆς Λευκανίας, ἣν Οὐιβῶνα νῦν καλοῦσιν, Οὐίβιος Σικελὸς ἀνὴρ ἄλλα τε πολλὰ τῆς Κικέρωνος φιλίας ἀπολελαυκὼς, καὶ γενονὼς, ὑπατεύοντος αὐτοῦ, τεκτόνων ἔπαρχος, οἰκίᾳ μὲν οὐκ ἐδέξατο, τὸ χωρίον δὲ καταγράψειν ἐπηγγέλλετο. καὶ Γάιος Οὐεργίνος, ὁ τῆς Σικελίας στρατηγὸς, ἐν τοῖς μάλιστα Κικέρωνι κεχρημένος, ἔγραψεν ἀπέχεσθαι τῆς Σικελίας, ἐφ' οἷς ἀθυμήσας, ὥρμησεν ἐπὶ Βρεντέσιον, κἀκεῖθεν εἰς Δυρράχιον ἀνέμῳ φορῷ περαιούμενος, ἀντιπνεύσαντος πελαγίου μεθ' ἡμέραν, ἐπαλινδρόμησεν, εἶτα αὖθις ἀνήχθη.

Λέγεται δὲ καὶ καταπλεύσαντος εἰς Δυρράχιον αὐτοῦ, καὶ μέλλοντος ἀποβαίνειν, σεισμόν τε τῆς

Ministerio de Educación, Cultura y Deporte

γῆς καὶ σπασμὸν ἅμα γενέσθαι τῆς θαλάττης. ἀφ' ὧν συνέβαλλον οἱ μαντικοὶ μὴ μόνιμον αὐτῷ τὴν φυγὴν ἔσεσθαι. μεταβολῆς γὰρ εἶναι ταῦτα σημεῖα. πολλῶν δὲ φοιτώντων ἀνδρῶν ὑπ' εὐνοίας, καὶ τῶν Ἑλληνίδων πόλεων διαμιλλωμένων πρὸς αὐτὸν, ὅμως ἀθυμῶν καὶ περίλυπος διῆγε, τὰ πολλὰ πρὸς τὴν Ἰταλίαν, ὥσπερ οἱ δυσέρωτες, ἀφορῶν, καὶ τῷ φρονήματι μικρὸς ἄγαν καὶ ταπεινὸς ὑπὸ τῆς συμφορᾶς γεγονὼς καὶ συνεσταλμένος, ὡς οὐκ ἄν τις ἄνδρα παιδείᾳ συμβεβιωκότα τοσαύτῃ προσεδόκησε.

Καίτοι πολλάκις αὐτὸς ἠξίου τοὺς φίλους μὴ ῥήτορα καλεῖν αὐτὸν, ἀλλὰ φιλόσοφον. φιλοσοφίαν γὰρ, ὡς ἔργον, ᾑρῆσθαι, ῥητορικῇ δ' ὀργάνῳ χρῆσθαι πολιτευόμενος ἐπὶ τὰς χρείας. ἀλλ' ἡ δόξα δεινὴ τὸν λόγον, ὥσπερ βαφὴν, ἀποκλύσαι τῆς ψυχῆς, καὶ τὰ τῶν πολλῶν ἀνομόρξασθαι πάθη δι' ὁμιλίαν καὶ συνήθειαν τοῖς πολιτευομένοις, ἂν μή τις εὖ μάλα φυλαττόμενος, οὕτω συμφέρηται τοῖς ἐκτὸς, ὡς τῶν πραγμάτων αὐτῶν, οὐ τῶν ἐπὶ τοῖς πράγμασι παθῶν συμμεθέξων.

Ὁ δὲ Κλώδιος ἐξελάσας τὸν Κικέρωνα, κατέπρησε μὲν αὐτοῦ τὰς ἐπαύλεις, κατέπρησε δὲ τὴν οἰκίαν, καὶ τῷ τόπῳ ναὸν Ἐλευθερίας ἐπῳκοδόμησε. τὴν δ' ἄλλην οὐσίαν ἐπώλησε, καὶ διεκήρυττε

Ministerio de Educación, Cultura y Deporte

καθ' ἡμέραν, μηδὲν ὠνουμένου μηδενός. ἐκ δὲ τούτου φοβερὸς ὢν τοῖς ἀριστοκρατικοῖς, καὶ τὸν δῆμον ἀνειμένον εἰς ὕβριν πολλὴν καὶ θρασύτητα συνεφελκόμενος, ἐπεχείρει τῷ Πομπηΐῳ, τῶν διῳκημένων ὑπ' αὐτοῦ κατὰ τὴν στρατείαν ἔνια σπαράττων. ἐφ' οἷς ὁ Πομπήιος ἀδοξῶν, ἐκάκιζεν αὐτὸς αὑτὸν, προέμενος τὸν Κικέρωνα· καὶ πάλιν ἐκ μεταβολῆς παντοῖος ἐγίνετο, πράττων κάθοδον αὐτῷ μετὰ τῶν φίλων. Ἐνισταμένου δὲ τοῦ Κλωδίου, συνέδοξε τῇ βουλῇ μηδὲν διὰ μέσου πρᾶγμα κυροῦν μηδὲ πράττειν δημόσιον, εἰ μὴ Κικέρωνι κάθοδος γένοιτο.

Τῶν δὲ περὶ Λέντλον ὑπατευόντων, καὶ τῆς στάσεως πρόσω βαδιζούσης, ὥστε τρωθῆναι μὲν ἐν ἀγορᾷ δημάρχους, Κόϊντον δὲ τὸν Κικέρωνος ἀδελφὸν ἐν τοῖς νεκροῖς, ὡς τεθνηκότα κείμενον, διαλαθεῖν, ὅ, τε δῆμος ἤρχετο τρέπεσθαι τῇ γνώμῃ· καὶ τῶν δημάρχων Ἄννιος Μίλων πρῶτος ἐτόλμησε τὸν Κλώδιον εἰς δίκην ἀπάγειν βιαίως, καὶ Πομπηΐῳ πολλοὶ συνῆλθον ἔκ τε τοῦ δήμου καὶ τῶν πέριξ πόλεων. μεθ' ὧν προελθὼν, καὶ τὸν Κλώδιον ἀναστήσας ἐξ τῆς ἀγορᾶς, ἐπὶ τὴν ψῆφον ἐκάλει τοὺς πολίτας. καὶ λέγεται μηδέποτε μηδὲν ἐκ τοσαύτης ὁμοφροσύνης ἐπιψηφίσασθαι τὸν δῆμον, ἡ δὲ σύγκλητος ἁμιλλωμένη πρὸς τὸν δῆμον, ἔγραψεν ἐπαινεθῆναι τὰς πόλεις ὅσαι τὸν Κικέρωνα



Ministerio de Educación, Cultura y Deporte

παρὰ τὴν φυγὴν ἐθεράπευσεν, καὶ τὴν οἰκίαν αὐτοῦ καὶ τὰς ἐπαύλεις ἃς Κλώδιος διεφθάρκει, τέλεσι δημοσίοις ἀνασταθῆναι.

Κατῆλθε δὲ Κικέρων ἑκκαιδεκάτῳ μηνὶ μετὰ τὴν φυγὴν καὶ τοσαύτη τὰς πόλεις χαρὰ καὶ σπουδὴ τοὺς ἀνθρώπους περὶ τὴν ἀπάντησιν εἶχεν, ὥστε τὸ ῥηθὲν ὑπὸ Κικέρωνος ὕστερον, ἐνδεέστερον εἶναι τῆς ἀληθείας. ἔφη γὰρ αὐτὸν ἐπὶ τῶν ὤμων τὴν Ἰταλίαν φέρουσαν, εἰς τὴν Ῥώμην εἰσενεγκεῖν. ὅπου καὶ Κράσσος ἐχθρὸς ὢν αὐτοῦ πρὸ τῆς φυγῆς, τότε προθύμως ἀπήντα καὶ διελύετο, τῷ παιδὶ Ποπλίῳ χαριζόμενος, ὡς ἔλεγε, ζηλωτῇ τοῦ Κικέρωνος ὄντι.

Χρόνον δ᾽ οὐ πολὺν, διαλιπὼν, καὶ παραφυλάξας ἀποδημοῦντα τὸν Κλώδιον, ἐπῆλθε μετὰ πολλῶν τῷ Καπιτωλίῳ, καὶ τὰς δημαρχικὰς δέλτους ἐν αἷς ἀναγραφαὶ τῶν διῳκημένων ἦσαν, ἀπέσπασε καὶ διέφθειρεν. ἐγκαλουμένου δὲ περὶ τούτου τοῦ Κλωδίου, τοῦ δὲ Κικέρωνος λέγοντος ὡς παρανόμως ἐκ πατρικίων εἰς δημαρχίαν παρέλθοι, καὶ κύριον οὐδὲν εἶναι τῶν πεπραγμένων ὑπ᾽ αὐτοῦ, Κάτων ἠγανάκτησε καὶ ἀντεῖπε, τὸν μὲν Κλώδιον οὐκ ἐπαινῶν, ἀλλὰ καὶ δυσχεραίνων τοῖς πεπολιτευμένοις· δεινὸν δὲ καὶ βίαιον ἀποφαίνων, ἀναίρεσιν ψηφίσασθαι δογμάτων καὶ πράξεων το-

σὺτων τὴν σύγκλητον· ἐν αἷς εἶναι καὶ τὴν ἑαυτοῦ τῶν περὶ Κύπρον καὶ Βυζάντιον διοίκησιν. ἐκ τούτου προσέκρουσεν ὁ Κικέρων αὐτῷ πρόσκρουσιν εἰς οὐδὲν ἐμφανὴς προελθοῦσαν, ἀλλ' ὥστε τῇ φιλοφροσύνῃ χρῆσθαι πρὸς ἀλλήλους ἀμαυρότερον.

Μετὰ ταῦτα, Κλώδιον μὲν ἀποκτείνουσι Μίλων καὶ διωκόμενος φόνου, Κικέρωνα παρεστήσατο συνήγορον. ἡ δὲ βουλὴ φοβηθεῖσα μὴ κινδυνεύοντος ἀνδρὸς ἐνδόξου καὶ θυμοειδοῦς τοῦ Μίλωνος, ταραχὴ γένηται περὶ τὴν πόλιν, ἐπέτρεψε Πομπηίῳ ταύτην τε καὶ τὰς ἄλλας κρίσεις βραβεῦσαι, παρέχοντα τῇ πόλει καὶ τοῖς δικαστηρίοις ἀσφάλειαν. ἐκείνου δὲ τὴν ἀγορὰν ἔτι νυκτὸς ἀπὸ τῶν ἄκρων περιλαβόντος τοῖς στρατιώταις, ὁ Μίλων τὸν Κικέρωνα δείσας μὴ πρὸς τὴν ὄψιν ἀηθείᾳ διαταραχθεὶς, χεῖρον διαγωνίσηται, συνέπεισεν, ἐν φορείῳ κομισθέντα πρὸς τὴν ἀγορὰν ἡσυχάζειν, ἄχρις οὗ συνίασιν οἱ κριταὶ, καὶ πληροῦται τὸ δικαστήριον.

Ὁ δ' οὐ μόνον ἦν (ὡς ἔοικεν) ἐν ὅπλοις ἀθαρσὴς, ἀλλὰ καὶ τῷ λέγειν μετὰ φόβου προσῄει, καὶ μόλις ἐπαύσατο παλλόμενος καὶ τρέμων, ἐπὶ πολλῶν ἀγώνων ἀκμὴν τοῦ λόγου καὶ στάσιν λαβόντος. Λικιννίῳ δὲ Μουρήνᾳ φεύγοντι δίκην ὑπὸ Κάτωνος, βοηθῶν καὶ φιλοτιμούμενος Ὁρτήσιον

ὑπερβάλλειν εὐημερήσαντα, μέρος οὐδὲν ἀνεπαύσατο τῆς νυκτὸς, ὡς ὑπὸ τοῦ σφόδρα φροντίσαι καὶ διαγρυπνῆσαι κακωθεὶς, ἐνδεέστερος αὐτοῦ φανῆναι.

Τότε δ᾽ οὖν ἐπὶ τὴν τοῦ Μίλωνος δίκην ἐκ τοῦ φορείου προελθὼν, καὶ θεασάμενος τὸν Πομπήιον ἄνω καθεζόμενον, ὥσπερ ἐν στρατοπέδῳ, καὶ κύκλῳ τὰ ὅπλα περιλάμποντα τὴν ἀγορὰν, συνεχύθη, καὶ μόλις ἐνήρξατο τοῦ λόγου κραδαινόμενος τὸ σῶμα, καὶ τὴν φωνὴν ἐνισχόμενος, αὐτοῦ τοῦ Μίλωνος εὐθαρσῶς καὶ ἀνδρείως παρισταμένου τῷ ἀγῶνι, καὶ κόμην θρέψαι καὶ μεταβαλεῖν ἐσθῆτα φαιὰν ἀπαξιώσαντος. ὅπερ οὐχ ἥκιστα δοκεῖ συναίτιον αὐτῷ γενέσθαι τῆς καταδίκης. ἀλλ᾽ ὅγε Κικέρων διὰ ταῦτα φιλέταιρος μᾶλλον ἢ δειλὸς ἔδοξεν εἶναι.

Γίνεται δὲ καὶ τῶν ἱερέων οὓς Αὔγουρας Ῥωμαῖοι καλοῦσιν, ἀντὶ Κράσσου τοῦ νέου, μετὰ τὴν ἐν Πάρθοις αὐτοῦ τελευτήν. εἶτα κλήρῳ λαχὼν τὴν ἐπαρχίαν Κιλικίαν, καὶ στρατὸν ὁπλιτῶν μυρίων καὶ δισχιλίων, ἱππέων δὲ δισχιλίων ἑξακοσίων, ἔπλευσε. προσταχθὲν αὐτῷ, καὶ τὰ περὶ Καππαδοκίαν Ἀριοβαρζάνῃ τῷ βασιλεῖ φίλα καὶ πειθήνια παρασχεῖν. ταῦτά τε δὴ παρεστήσατο καὶ συνήρμοσεν ἀμέμπτως ἄτερ πολέμου. τούς τε

Κίλικας ὁρῶν πρὸς τὸ Παρθικὸν πταῖσμα Ῥωμαίων, καὶ τὸν ἐν Συρίᾳ νεωτερισμὸν ἐπηρμένους, κατεπράϋνεν ἡμέρως ἄρχων. καὶ δῶρα μὲν οὐδὲ τῶν βασιλέων διδόντων ἔλαβε, δείπνων δὲ τοὺς ἐπαρχικοὺς ἀνῆκεν. αὐτὸς δὲ καθ᾽ ἡμέραν τοὺς χαρίεντας ἀνελάμβανεν ἑστιάσεσιν, οὐ πολυτελῶς, ἀλλ᾽ ἐλευθερίως. ἡ δὲ οἰκία θυρωρὸν οὐκ εἶχεν, οὐδὲ αὐτὸς ὤφθη κατακείμενος ὑπ᾽ οὐδενὸς, ἀλλ᾽ ἕωθεν ἑστὼς ἢ περιπατῶν, περὶ τοῦ δωματίου, τοὺς ἀσπαζομένους ἐδεξιοῦτο.

Λέγεται δὲ μήτε ῥάβδοις αἰκίσασθαι τινὰ, μήτ᾽ ἐσθῆτα περισχίσαι, μήτε βλασφημίαν ὑπ᾽ ὀργῆς ἢ ζημίας προσβαλεῖν, μηθ᾽ ὕβρεων. ἀνευρὼν δὲ πολλὰ τῶν δημοσίων κεκλεμμένα, τάς τε πόλεις εὐπόρους ἐποίησε, καὶ τοὺς ἀποτίνοντας, οὐδὲν τούτου πλεῖον παθόντας, ἐπιτίμους διεφύλαξεν. ἥψατο δὲ καὶ πολέμου, λῃστὰς τῶν περὶ τὸν Ἀμανὸν οἰκούντων τρεψάμενος. ἐφ᾽ ᾧ καὶ αὐτοκράτωρ ὑπὸ τῶν στρατιωτῶν ἀνηγορεύθη.

Καιλίου δὲ τοῦ ῥήτορος δεομένου παρδάλεις αὐτῷ πρός τινα θέαν εἰς Ῥώμην ἐκ Κιλικίας ἀποστεῖλαι, καλλωπιζόμενος ἐπὶ τοῖς πεπραγμένοις, γράφει πρὸς αὐτὸν οὐκ εἶναι παρδάλεις ἐν Κιλικίᾳ. πεφευγέναι γὰρ εἰς Καρίαν, ἀγανακτούσας ὅτι μόναι πολεμοῦνται, πάντων εἰρήνην ἐχόντων

Ministerio de Educación, Cultura y Deporte

Πλέων δ' ἀπὸ τῆς ἐπαρχίας, τοῦτο μὲν Ῥόδῳ προσέσχε, τοῦτο δ' Ἀθήναις ἐνδιέτριψεν ἀσμένος, πόθῳ τῆς πάλαι διατριβῶν. ἀνδράσι δὲ τοῖς πρώτοις ἀπὸ παιδείας συγγενόμενος, καὶ τοὺς τότε φίλους καὶ συνήθεις ἀσπασάμενος, καὶ τὰ πρέποντα θαυμασθεὶς ὑπὸ τῆς Ἑλλάδος εἰς τὴν πόλιν ἐπανῆλθεν, ἤδη τῶν πραγμάτων ὥσπερ ὑπὸ φλεγμονῆς ἀφισταμένων περὶ τὸν ἐμφύλιον πόλεμον.

Ἐν μὲν οὖν τῇ βουλῇ ψηφιζομένων αὐτῷ θρίαμβον, ἥδιον ἂν ἔφη παρακολουθῆσαι Καίσαρι θριαμβεύοντι, συμβάσεων γενομένων. ἰδίᾳ δὲ συνεβούλευε, πολλὰ μὲν Καίσαρι γράφων, πολλὰ δ' αὐτοῦ Πομπηΐου δεόμενος, πραΰνων ἑκάτερον καὶ παραμυθούμενος.

Ὡς δ' ἦν ἀνήκεστα, καὶ Καίσαρος ἐπερχομένου, Πομπήϊος οὐκ ἔμεινεν, ἀλλὰ μετὰ πολλῶν καὶ ἀγαθῶν ἀνδρῶν τὴν πόλιν ἐξέλιπε, ταύτης μὲν ἀπελείφθη τῆς φυγῆς ὁ Κικέρων, ἔδοξε δὲ Καίσαρι προστίθεσθαι. καὶ δῆλος ἐστὶ τῇ γνώμῃ πολλὰ ῥιπτασθεὶς ἐπ' ἀμφότερα καὶ δυσπαθήσας. γράφει γὰρ ἐν ταῖς ἐπιστολαῖς, Ποτέρωσε χρὴ τρέπεσθαι; Πομπηΐου μὲν ἔνδοξον καὶ καλὴν ὑπόθεσιν πρὸς τὸν πόλεμον ἔχοντος, Καίσαρος δ' ἄμεινον τοῖς πράγμασι χρωμένου, καὶ μᾶλλον



Ministerio de Educación, Cultura y Deporte

ἑαυτὸν καὶ τοὺς φίλους σώζοντος; ὥστ' ἔχειν μὲν ὃν φύγῃ, μὴ ἔχειν δὲ πρὸς ὃν φύγῃ.

Τρεβατίου δέ τινος τῶν Καίσαρος ἑταίρων γράψαντος ἐπιστολὴν ὅτι Καῖσαρ οἴεται δεῖν, μάλιστα μὲν αὐτὸν ἐξετάζεσθαι μεθ' αὐτοῦ, καὶ τῶν ἐλπίδων μετέχειν· εἰ δ' ἀναδύεται διὰ γῆρας, εἰς τὴν Ἑλλάδα βαδίζειν, κἀκεῖ καθήμενον ἡσυχίαν ἄγειν, ἐκποδὼν ἀμφοτέροις γενόμενον. θαυμάσας ὁ Κικέρων ὅτι Καῖσαρ αὐτὸς οὐκ ἔγραψεν, ἀπεκρίνατο πρὸς ὀργὴν, ὡς οὐδὲν ἀνάξιον πράξει τῶν πεπολιτευμένων. τὰ μὲν οὖν ἐν ταῖς ἐπιστολαῖς γεγραμμένα, τοιαῦτά ἐστι.

Τοῦ δὲ Καίσαρος εἰς Ἰβηρίαν ἀπάραντος, εὐθὺς ὡς Πομπήϊον ἔπλευσε· καὶ τοῖς μὲν ἄλλοις ἀσμένος ὤφθη, Κάτων δ' αὐτὸν ἰδὼν, ἰδίᾳ πολλὰ κατεμέμφετο Πομπηΐῳ προσθέμενον. αὐτῷ μὲν γὰρ οὐχὶ καλῶς ἔχειν ἐγκαταλιπεῖν ἣν ἀρχῆς εἵλετο τῆς πολιτείας τάξιν, ἐκεῖνον δὲ χρησιμώτερον ὄντα τῇ πατρίδι καὶ τοῖς φίλοις, εἰ μένων ἴσα ἐκεῖ πρὸς τὸ ἀποβαῖνον ἡρμόζετο, καθ' οὐδένα λογισμὸν οὐδ' ἐξ ἀνάγκης πολέμιον γεγονέναι Καίσαρι, καὶ τοσούτου μεθέξοντα κινδύνου δεῦρ' ἥκειν.

Οὗτοι δὲ δὴ τοῦ Κικέρωνος ἀνέστρεφον οἱ λόγοι τὴν γνώμην, καὶ τὸ μέγα μηδὲν αὐτῷ χρῆσθαι Πομπήϊον. αἴτιος δ' ἦν αὐτὸς, οὐκ ἀρνούμενος

Ministerio de Educación, Cultura y Deporte

μεταμέλεσθαι, φλαυρίζων δὲ τοῦ Πομπηΐου τὴν παρασκευήν, καὶ πρὸς τὰ βουλεύματα δυσκολαίνων ὑπούλως, καὶ τοῦ παρασκώπτειν τι καὶ λέγειν χαρίεν εἰς τοὺς συμμάχους, οὐκ ἀπεχόμενος· ἀλλ' αὐτὸς μὲν ἀγέλαστος ἀεὶ περιϊὼν ἐν τῷ στρατοπέδῳ καὶ σκυθρωπός, ἑτέροις δὲ παρέχων γέλωτα μηδὲν δεομένοις.

Βέλτιον δὲ καὶ τούτων ὀλίγα παραθέσθαι. Δομιτίου τοίνυν ἄνθρωπον εἰς τάξιν ἡγεμονικὴν ἄγοντος οὐ πολεμικόν, καὶ λέγοντος ὡς ἐπιεικὴς τὸν τρόπον ἐστὶ καὶ σώφρων, Τί οὖν (εἶπεν) οὐκ ἐπίτροπον αὐτὸν τοῖς τέκνοις φυλάσσεις;

Ἐπαινούντων δέ τινων Θεοφάνην τὸν Λέσβιον, ὃς ἦν ἐν τῷ στρατοπέδῳ τεκτόνων ἔπαρχος, ὡς εὖ παραμυθήσαιτο Ῥοδίους τὸν στόλον ἀποβαλόντας, Ἡλίκον (εἶπεν) ἀγαθόν ἐστι, τὸ Γραικὸν ἔχειν ἔπαρχον.

Καίσαρος δὲ κατορθοῦντος τὰ πλεῖστα, καὶ τρόπον τινὰ πολιορκοῦντος αὐτούς, Λέντλῳ μὲν εἰπόντι πυνθάνεσθαι σκυθρωποὺς εἶναι τοὺς Καίσαρος φίλους, ἀπεκρίνατο, Λέγεις αὐτοὺς δυσνοεῖν Καίσαρι;

Μαρκίου δέ τινος ἥκοντος ἐξ Ἰταλίας νεωστί, καὶ λέγοντος ἐν Ῥώμῃ φήμην ἐπικρατεῖν, ὡς πολιορκοῖτο Πομπήϊος, Εἶτ' ἐξέπλευσας (εἶπεν) ἵνα τοῦτο πιστεύσῃς αὐτὸς θεασάμενος;



Ministerio de Educación, Cultura y Deporte

Μετὰ δὲ τὴν ἧτταν Νοννίου μὲν εἰπόντος ὅτι δεῖ χρηστὰς ἐλπίδας ἔχειν, ἑπτὰ γὰρ ἀετοὺς ἐν τῷ στρατοπέδῳ τοῦ Πομπηίου λελεῖφθαι· καλῶς ἄν (ἔφη) παρῄνεις, εἰ κολοιοῖς ἐπολεμοῦμεν.

Λαβιήνου δὲ μαντείαις τισὶν ἰσχυριζομένου, καὶ λέγοντος ὡς δεῖ περιγενέσθαι Πομπήιον, Οὐκοῦν (ἔφη) στρατηγήματι τούτῳ χρώμενοι νῦν ἀποβεβλήκαμεν τὸ στρατόπεδον.

Ἀλλὰ γὰρ γενομένης τῆς κατὰ Φάρσαλον μάχης, ἧς οὐ μετέσχε δι᾽ ἀῤῥωστίαν, καὶ Πομπηίου φυγόντος, ὁ μὲν Κάτων καὶ στράτευμα συχνὸν ἐν Δυῤῥαχίῳ, καὶ στόλον ἔχων μέγαν, ἐκεῖνον ἠξίου στρατηγεῖν μετὰ νόμον, καὶ τὸ τῆς ὑπατείας ἀξίωμα προὔχοντα. διωσάμενος δὲ τὴν ἀρχὴν ὁ Κικέρων, καὶ ὅλως φεύγων τὸ συστρατεύεσθαι, παρ᾽ οὐδὲν ἦλθεν ἀναιρεθῆναι, Πομπηίου τοῦ νέου καὶ τῶν φίλων προδότην ἀποκαλούντων, καὶ τὰ ξίφη σπασαμένων, εἰ μὴ Κάτων ἐνστάς, μόλις ἀφείλετο καὶ διήνεγκεν αὐτὸν ἐκ τοῦ στρατοπέδου.

Κατασχὼν δ᾽ εἰς Βρεντέσιον, ἐνταῦθα διέτριβε, Καίσαρα περιμένων βραδύνοντα διὰ τὰς ἐν Ἀσίᾳ καὶ περὶ Αἴγυπτον ἀσχολίας. ἐπεὶ δ᾽ εἰς Τάραντα καθωρμισμένος ἀπηγγέλλετο, καὶ πεζῇ περιιὼν, ἐκεῖθεν εἰς Βρεντέσιον ὥρμησε πρὸς αὐτὸν, οὐ πάνυ μὲν ὢν δύσελπις, αἰδούμενος δὲ

Ministerio de Educación, Cultura y Deporte

πολλῶν παρόντων ἀνδρὸς ἐχθροῦ καὶ κρατοῦντος λαμβάνειν πεῖραν.

Οὐ μὴν ἐδέησεν αὐτῷ πρᾶξαί τι παρ' ἀξίαν ἢ εἰπεῖν· ὁ γὰρ Καῖσαρ ὡς εἶδεν αὐτὸν πολὺ πρὸ τῶν ἄλλων ἀπαντῶντα, κατέβη καὶ ἠσπάσατο, καὶ διαλεγόμενος μόνῳ συχνῶν σταδίων ὁδὸν προῆλθεν, ἐκ δὲ τούτου διετέλει τιμῶν καὶ φιλοφρονούμενος, ὥστε καὶ γράψαντι λόγον ἐγκώμιον Κάτωνος, ἀντιγράφων, τόν τε λόγον αὐτοῦ καὶ τὸν βίον ὡς μάλιστα τῷ Περικλέους ἐοικότα καὶ Θηραμένους, ἐπαινεῖν. ὁ μὲν οὖν Κικέρωνος λόγος, Κάτων, ὁ δὲ Καίσαρος, Ἀντικάτων ἐπιγέγραπται.

Λέγεται δὲ καὶ Κοΐντου Λιγαρίου δίκην φεύγοντος, ὅτι τῶν Καίσαρος πολεμίων εἷς ἐγεγόνει, καὶ Κικέρωνος αὐτῷ βοηθοῦντος, εἰπεῖν τὸν Καίσαρα πρὸς τοὺς φίλους, Τί κωλύει διὰ χρόνου Κικέρωνος ἀκοῦσαι λέγοντος, ἐπεὶ πάλαι κέκριται πονηρὸς ἀνὴρ καὶ πολέμιος; ἐπεὶ δ' ἀρξάμενος λέγειν ὁ Κικέρων ὑπερφυῶς ἐκίνει, καὶ προὔβαινεν αὐτῷ πάθει τε ποικίλος καὶ χάριτι θαυμαστὸς ὁ λόγος, πολλὰς μὲν ἱέναι χρόας ἐπὶ τοῦ προσώπου τὸν Καίσαρα, πάσας δὲ τῆς ψυχῆς τρεπόμενον τροπὰς κατάδηλον εἶναι. τέλος δὲ τῶν κατὰ Φάρσαλον ἁψαμένου τοῦ ῥήτορος ἀγώνων, ἐκπαθῆ γενόμενον, τιναχθῆναι τῷ σώματι, καὶ τῆς χειρὸς ἐκβαλεῖν ἔνια

Ministerio de Educación, Cultura y Deporte

τῶν γραμματίων. τὸν γοῦν ἄνθρωπον ἀπέλυσε τῆς αἰτίας βεβιασμένος.

Ἐκ τούτου Κικέρων, εἰς μοναρχίαν τῆς πολιτείας μεθεστώσης, ἀφέμενος τοῦ τὰ κοινὰ πράττειν, ἐσχόλαζε τοῖς βουλομένοις φιλοσοφεῖν τῶν νέων, καὶ σχεδὸν ἐκ τῆς πρὸς τούτους συνηθείας εὐγενεστάτους, καὶ πρώτους ὄντας, αὖθις ἴσχυεν ἐν τῇ πόλει μέγιστον. αὐτῷ δὴ ἔργον μὲν τὸ τοὺς φιλοσόφους συντελεῖν διαλόγους καὶ μεταφράζειν, καὶ τῶν διαλεκτικῶν ἢ φυσικῶν ὀνομάτων ἕκαστον εἰς Ῥωμαϊκὴν μεταβάλλειν διάλεκτον. ἐκεῖνος γάρ ἐστιν (ὥς φασιν) ὁ καὶ τὴν φαντασίαν, καὶ τὴν κατάθεσιν, καὶ τὴν ἐποχὴν, καὶ τὴν κατάληψιν, ἔτι δὲ τὸ ἄτομον, τὸ ἀμερὲς, τὸ κενὸν, ἄλλα τε πολλὰ τῶν τοιούτων ἐξονομάσας πρῶτος, ἢ μάλιστα Ῥωμαίοις, τὰ μὲν μεταφοραῖς, τὰ δὴ οἰκειότησιν ἄλλαις γνώριμα καὶ προσήγορα μηχανησάμενος. τῇ δὲ πρὸς τὴν ποίησιν εὐκολίᾳ παίζων ἐχρῆτο. λέγεται γὰρ, ὁπηνίκα ῥυείη πρὸς τὸ τοιοῦτον, τῆς νυκτὸς, ἔπη ποιεῖν πεντακόσια.

Τὸ μὲν οὖν πλεῖστον τοῦ χρόνου τούτου περὶ Τούσκλον ἐν χωρίοις αὐτοῦ διάγων, ἔγραφε πρὸς τοὺς φίλους Λαέρτου βίον ζῆν, εἴτε παίζων (ὡς ἔθος εἶχεν) εἴθ' ὑπὸ φιλοτιμίας σπαργῶν πρὸς τὴν πολιτείαν, καὶ ἀθυμῶν τοῖς καθεστῶσι. σπανίως

Ministerio de Educación, Cultura y Deporte

δ' εἰς ἄστυ θεραπείας ἕνεκα τοῦ Καίσαρος κατῄει, καὶ πρῶτος ἦν τῶν συναγορευόντων ταῖς τιμαῖς, καὶ λέγειν ἀεί τι καιρὸν εἰς τὸν ἄνδρα καὶ τὰ πράγματα φιλοτιμουμένων. οἷόν ἐστι καὶ τὸ περὶ τῶν Πομπηΐου λεχθὲν εἰκόνων, ἃς ἀνῃρημένας καὶ καταβεβλημένας ὁ Καῖσαρ ἐκέλευσεν ἀνασταθῆναι, καὶ ἀνεστάθησαν. ἔφη γὰρ ὁ Κικέρων ὅτι ταύτῃ τῇ φιλανθρωπίᾳ Καῖσαρ τοὺς μὲν Πομπηΐου ἵστησι, τοὺς δ' αὐτοῦ πήγνυσιν ἀνδριάντας.

Διανοούμενος δ', ὡς λέγεται, τὴν πάτριον ἱστορίαν γραφῇ περιλαβεῖν, καὶ πολλὰ συμμῖξαι τῶν Ἑλληνικῶν, καὶ ὅλως τοὺς εἰρημένους λόγους αὐτῶν καὶ μύθους ἐνταῦθα γράψαι, πολλοῖς μὲν δημοσίοις, πολλοῖς δ' ἰδίοις κατελήφθη πράγμασιν ἀβουλήτοις καὶ πάθεσιν, ὧν αὐθαίρετα δοκεῖ πλεῖστα συμβῆναι.

Πρῶτον μὲν γὰρ ἀπεπέμψατο τὴν γυναῖκα Τερεντίαν, ἀμεληθεὶς ὑπ' αὐτῆς παρὰ τὸν πόλεμον, ὥστε καὶ τῶν ἀναγκαίων ἐφοδίων ἐνδεὴς ἀποσταλῆναι, καὶ μηδ', ὅτε κατῆρεν αὖθις εἰς Ἰταλίαν, τυχεῖν εὐγνώμονος. αὐτὴ μὲν γάρ, οὐκ ἦλθεν ἐν Βρεντεσίῳ διατρίβοντος αὐτοῦ πολὺν χρόνον· ἐρχομένῃ δὲ τῇ θυγατρὶ παιδίσκῃ νέᾳ τοσαύτην ὁδὸν, οὐ πομπὴν πρέπουσαν, οὐ χορηγίαν παρέσχεν, ἀλλὰ καὶ τὴν οἰκίαν τῷ Κικέρωνι πάντων ἔρημον καὶ κενὴν

ἀπέδειξεν ἐπὶ πολλοῖς ὀφλήμασι καὶ μεγάλοις· αὗται γάρ εἰσιν αἱ λεγόμεναι τῆς διαστάσεως εὐπρεπέσταται προφάσεις.

Τῇ δὲ Τερεντίᾳ καὶ ταύτας ἀρνουμένῃ λαμπρὰν ἐποίησε τὴν ἀπολογίαν αὐτὸς ἐκεῖνος, μετ' οὐ πολὺν χρόνον γήμας παρθένον, ὡς μὲν ἡ Τερεντία κατεφήμιζεν, ἔρωτι τῆς ὥρας, ὡς δὲ Τίρων ὁ τοῦ Κικέρωνος ἀπελεύθερος γέγραφεν, εὐπορίας ἕνεκεν πρὸς διάλυσιν δανείων. ἦν γὰρ ἡ παῖς σφόδρα πλουσία, καὶ τὴν οὐσίαν αὐτῆς ὁ Κικέρων ἐν πίστει κληρονόμος ἀπολειφθεὶς διεφύλαττεν. ὀφείλων δὲ πολλὰς μυριάδας, ὑπὸ τῶν φίλων καὶ οἰκείων ἐπίσθη τὴν παῖδα γῆμαι παρ' ἡλικίαν, καὶ τοὺς δανειστὰς ἀπαλλάξαι, τοῖς ἐκείνης χρησάμενον. Ἀντώνιος δὲ τοῦ γάμου μνησθεὶς ἐν ταῖς πρὸς τοὺς Φιλιππικοὺς ἀντιγραφαῖς, ἐκβαλεῖν αὐτόν φησι γυναῖκα παρ' ἣν ἐγήρασε, χαριέντως ἅμα τὴν οἰκουρίαν ὡς ἀπράκτου καὶ ἀστρατεύτου παρασκώπτων τοῦ Κικέρωνος.

Γήμαντι δ' αὐτῷ, μετ' οὐ πολὺν χρόνον ἡ θυγάτηρ ἀπέθανε τίκτουσα παρὰ Λέντλῳ· τούτῳ γὰρ ἐγαμήθη μετὰ τὴν Πείσωνος τοῦ προτέρου ἀνδρὸς τελευτήν, καὶ συνῆλθον μὲν ἐπὶ τὴν παραμυθίαν τῷ Κικέρωνι πανταχόθεν οἱ φιλόσοφοι· βαρέως δ' ἄγαν ἤνεγκε τὸ συμβεβηκός, ὥστε καὶ τὴν γα-

Ministerio de Educación, Cultura y Deporte

μηθεῖσαν ἀποπέμψασθαι δόξασαν ἡσθῆναι τῇ τελευτῇ τῆς Τυλλίας. τὰ μὲν οὖν καθ' οἶκον οὕτως εἶχε τῷ Κικέρωνι.

Τῆς δ' ἐπὶ Καίσαρα συνισταμένης πράξεως οὐ μετέσχε, καίπερ ὢν ἑταῖρος ἐν τοῖς μάλιστα Βρούτου, καὶ βαρύνεσθαι τὰ παρόντα, καὶ τὰ πάλαι ποθεῖν πράγματα δοκῶν, ὡς ἕτερος οὐδείς. ἀλλ' ἔδεισαν οἱ ἄνδρες αὐτοῦ τήν τε φύσιν, ὡς ἐνδεᾶ τόλμης, τόν τε χρόνον, ἐν ᾧ καὶ ταῖς ἐρρωμενεστάταις φύσεσιν ἐπιλείπει τὸ θαρρεῖν.

Ὡς δ' οὖν ἐπέπρακτο τοῖς περὶ Βροῦτον καὶ Κάσσιον τὸ ἔργον, καὶ τῶν Καίσαρος φίλων συνισταμένων, αὖθις ἦν δέος ἐμφυλίοις πολέμοις περιπετῆ γενέσθαι τὴν πόλιν· Ἀντώνιος μὲν ὑπατεύων τὴν βουλὴν συνήγαγε, καὶ βραχέα διελέχθη περὶ ὁμονοίας, Κικέρων δὲ πολλὰ πρὸς τὸν καιρὸν οἰκείως διελθὼν, ἔπεισε τὴν σύγκλητον, Ἀθηναίους μιμησαμένην, ἀμνηστίαν τῶν ἐπὶ Καίσαρι ψηφίσασθαι, νεῖμαι δὲ τοῖς περὶ Κάσσιον καὶ Βροῦτον ἐπαρχίας.

Ἔσχε δὲ τούτων τέλος οὐδέν. ὁ γὰρ δῆμος, αὐτὸς μὲν ἀφ' ἑαυτοῦ πρὸς οἶκτον ἐξαχθεὶς, ὡς εἶδε τὸν νεκρὸν ἐκκομιζόμενον δι' ἀγορᾶς, Ἀντωνίου δὲ καὶ τὴν ἐσθῆτα δείξαντος αὐτοῖς αἵματος κατάπλεων, καὶ κεκομμένην πάντη τοῖς ξίφεσιν, ἐκμανέντες ὑπ'

Ministerio de Educación, Cultura y Deporte

ὀργῆς, ἐν ἀγορᾷ ζήτησιν ἐποιοῦντο τῶν ἀνδρῶν, καὶ πῦρ ἔχοντες, ἐπὶ τὰς οἰκίας ἔθεον, ὡς ἀνάψοντες. οἱ δὲ τοῦτον μὲν τῷ προπεφυλάχθαι διέφυγον τὸν κίνδυνον, ἑτέρους δὲ πολλοὺς καὶ μεγάλους προσδοκῶντες, ἐξέλιπον τὴν πόλιν.

Εὐθὺς οὖν ὁ Ἀντώνιος ἐπῆρτο, καὶ πᾶσι μὲν ἦν φοβερὸς ὡς μοναρχήσων, τῷ δὲ Κικέρωνι φοβερώτατος. ἀναρρωννυμένην τε γὰρ αὐτῷ πάλιν ὁρῶν τὴν δύναμιν ἐν τῇ πολιτείᾳ, καὶ τοῖς περὶ Βροῦτον ἐπιτήδειον εἰδὼς, ἤχθετο παρόντι. καὶ πού τι καὶ προϋπῆρχεν ὑποψίας αὐτοῖς πρὸς ἀλλήλους κατὰ τὴν τῶν βίων ἀνομοιότητα καὶ διαφοράν. ταῦτα δείσας ὁ Κικέρων, πρῶτον μὲν ὥρμησε πρεσβευτὴς Δολοβέλλᾳ συνεκπλεῦσαι εἰς Συρίαν.

Ἐπεὶ δ᾽ οἱ μέλλοντες ὑπατεύειν μετ᾽ Ἀντώνιον, Ἵρτιος καὶ Πάνσας, ἄνδρες ἀγαθοὶ καὶ ζηλωταὶ τοῦ Κικέρωνος, ἐδέοντο μὴ σφᾶς καταλιπεῖν, ὑποδεχόμενοι καταλύσειν Ἀντώνιον ἐκείνου παρόντος· ὁ δ᾽ οὔτ᾽ ἀπιστῶν παντάπασιν, οὔτε πιστεύων, Δολοβέλλαν μὲν εἴασε χαίρειν, ὁμολογήσας δὲ τοῖς περὶ τὸν Ἵρτιον τὸ θέρος ἐν Ἀθήναις διάξειν, ὅταν δ᾽ ἐκεῖνοι παραλάβωσι τὴν ἀρχὴν, ἀφίξεσθαι πάλιν, αὐτὸς καθ᾽ ἑαυτὸν ἐξέπλευσε.

Γενομένης δὲ περὶ τὸν πλοῦν διατριβῆς, καὶ λόγων ἀπὸ Ῥώμης (οἷα φιλεῖ) καινῶν προσπεσόντων,

Ministerio de Educación, Cultura y Deporte

μεταμεμελῆσθαι μὲν Ἀντώνιον θαυμαστὴν μεταβολὴν, καὶ πάντα πράττειν καὶ πολιτεύεσθαι πρὸς τὴν σύγκλητον, ἐνδεῖν δὲ τῆς ἐκείνου παρουσίας τὰ πράγματα, μὴ τὴν ἀρίστην ἔχειν διάθεσιν· καταμεμψάμενος αὑτὸν αὐτοῦ τὴν πολλὴν εὐλάβειαν, ἀνέστρεφεν αὖθις εἰς Ῥώμην. καὶ τῶν πρώτων οὐ διημάρτανεν ἐλπίδων· τοσοῦτον πλῆθος περὶ τὴν ἀπάντησιν ἐξεχύθη, καὶ σχεδὸν ἡμερήσιον ἀνήλωσαν χρόνον αἱ περὶ τὰς πύλας καὶ τὴν εἴσοδον αὐτοῦ δεξιώσεις καὶ φιλοφροσύναι.

Τῇ δ' ὑστεραίᾳ βουλὴν συναγαγόντος Ἀντωνίου, καὶ καλοῦντος αὐτὸν, οὐκ ἦλθεν, ἀλλὰ κατέκειτο, μαλακῶς ἔχειν ἐκ τοῦ κόπου σκηπτόμενος, ἐδόκει δὲ τἀληθὲς ἐπιβουλῆς εἶναι φόβος, ἔκ τινος ὑποψίας καὶ μηνύσεως καθ' ὁδὸν αὐτῷ προσπεσούσης· Ἀντώνιος δὲ χαλεπῶς μὲν εἶχεν ἐπὶ τῇ διαβολῇ, καὶ στρατιώτας ἔπεμψεν ἄγειν αὐτὸν, ἢ καταπρῆσαι τὴν οἰκίαν κελεύσας. ἐνστάντων δὲ πολλῶν καὶ δεηθέντων, ἐνέχυρα λαβὼν μόνον ἐπαύσατο· καὶ τὸ λοιπὸν οὕτως ἀντιπαρεξιόντες ἀτρέμα καὶ φυλαττόμενοι διετέλουν. ἄχρις οὗ Καῖσαρ ὁ νέος ἐξ Ἀπολλωνίας παραγενόμενος, τόν τε κλῆρον ἀνεδέξατο τοῦ Καίσαρος ἐκείνου, καὶ περὶ τῶν δισχιλίων πεντακοσίων μυριάδων, ἃς Ἀντώνιος ἐκ τῆς οὐσίας κατεῖχεν, εἰς διαφορὰν κατέστη πρὸς αὐτόν.

Ἐκ δὲ τούτου Φίλιππος ὁ τὴν μητέρα τοῦ νέου Καίσαρος ἔχων, καὶ Μάρκελλος ὁ τὴν ἀδελφὴν, ἀφικόμενοι μετὰ τοῦ νεανίσκου πρὸς τὸν Κικέρωνα, συνέθεντο Κικέρωνα μὲν ἐκείνῳ τὴν ἀπὸ τοῦ λόγου καὶ τῆς πολιτείας δύναμιν ἔν τε τῇ βουλῇ καὶ τῷ δήμῳ παρέχειν, ἐκεῖνον δὲ Κικέρωνι τὴν ἀπὸ τῶν χρημάτων καὶ τῶν ὅπλων ἀσφάλειαν. ἤδη γὰρ οὐκ ὀλίγους τῶν ὑπὸ Καίσαρι στρατευσαμένων περὶ αὐτὸν εἶχε τὸ μειράκιον.

Ἐδόκει δὲ καὶ ἀναδέξασθαι προθύμως τὴν Καίσαρος φιλίαν. ἔτι γὰρ (ὡς ἔοικε) Πομπηΐου ζῶντος καὶ Καίσαρος, ἔδοξε κατὰ τοὺς ὕπνους ὁ Κικέρων καλεῖν τινας τοὺς τῶν συγκλητικῶν παῖδας εἰς τὸ Καπετώλιον, ὡς μέλλοντος ἐξ αὐτῶν ἕνα τοῦ Διὸς ἀποδεικνύειν τῆς Ῥώμης ἡγεμόνα. τοὺς δὲ πολίτας ὑπὸ σπουδῆς θέοντας ἵστασθαι περὶ τὸν νεών, καὶ τοὺς παῖδας ἐν τοῖς περιπορφύροις καθέζεσθαι σιωπὴν ἔχοντας. ἐξαίφνης δὲ τῶν θυρῶν ἀνοιχθεισῶν, καθ' ἕνα τῶν παίδων ἀνισταμένων, κύκλῳ παρὰ τὸν θεὸν παραπορεύεσθαι. τὸν δὲ πάντας ἐπισκοπεῖν καὶ ἀποπέμπειν ἀχθομένους ὡς δ' οὗτος ἦν προσιὼν κατ' αὐτὸν, ἐκτεῖναι τὴν δεξιὰν καὶ εἰπεῖν, Ὦ Ῥωμαῖοι, πέρας ὑμῖν ἐμφυλίων πολέμων οὗτος ἡγεμὼν γενόμενος.

Τοιοῦτόν φασιν ἐνύπνιον ἰδόντα τὸν Κικέρωνα,



Ministerio de Educación, Cultura y Deporte

τὴν μὲν ἰδέαν τοῦ παιδὸς ἐκμεμάχθαι καὶ κατέχειν ἐναργῶς, αὐτὸν δὲ οὐκ ἐπίστασθαι. μεθ' ἡμέραν δὲ καταβαίνοντος εἰς τὸ πεδίον τὸ Ἄρειον αὐτοῦ, τοὺς παῖδας ἤδη γεγυμνασμένους ἀπέρχεσθαι, κἀκεῖνον ὀφθῆναι τῷ Κικέρωνι πρῶτον οἷος ὤφθη καθ' ὕπνον. ἐκπλαγέντα δέ, πυνθάνεσθαι τίνων εἴη γονέων. ἦν δὲ πατρὸς Ὀκταουΐου τῶν οὐκ ἄγαν ἐπιφανῶν, Ἀττίας δὲ μητρός, ἀδελφῆς Καίσαρος. ὅθεν Καῖσαρ αὐτῷ, παῖδας οὐκ ἔχων ἰδίους, τὴν οὐσίαν ἑαυτοῦ καὶ τὸν οἶκον, ἐν ταῖς διαθήκαις ἔδωκεν.

Ἐκ τούτου φασὶ τὸν Κικέρωνα τῷ παιδὶ κατὰ τὰς ἀπαντήσεις ἐντυγχάνειν ἐπιμελῶς, κἀκεῖνον οἰκείως δέχεσθαι τὰς φιλοφροσύνας. καὶ γὰρ ἐκ τύχης αὐτῷ γεγονέναι συμβεβήκει Κικέρωνος ὑπατεύοντος. αὗται μὲν οὖν προφάσεις ἦσαν λεγόμεναι· τὸ δὲ πρὸς Ἀντώνιον μῖσος Κικέρωνα πρῶτον, εἶτα ἡ φύσις ἥττων οὖσα τῆς τιμῆς, προσεποίησε Καίσαρι, νομίζοντα προσλαμβάνειν τῇ πολιτείᾳ τὴν ἐκείνου δύναμιν.

Οὕτω γὰρ ὑπῄει πρὸς τὸ μειράκιον αὐτόν, ὥστε καὶ πατέρα προσαγορεύειν. ἐφ' ᾧ σφόδρα Βροῦτος ἀγανακτῶν, ἐν ταῖς πρὸς Ἀττικὸν ἐπιστολαῖς καθήψατο τοῦ Κικέρωνος, ὅτι διὰ φόβον Ἀντωνίου, θεραπεύοντος Καίσαρα, δῆλός ἐστιν



Ministerio de Educación, Cultura y Deporte

οὐκ ἐλευθερίαν τῇ πατρίδι πράττων, ἀλλὰ δεσπότην φιλάνθρωπον αὐτῷ μνώμενος. οὐ μὲν ἀλλὰ τόν γε παῖδα τοῦ Κικέρωνος ὁ Βροῦτος ἐν Ἀθήναις διατρίβοντα παρὰ τοῖς φιλοσόφοις ἀναλαβὼν, ἔσχεν ἐφ᾽ ἡγεμονίας καὶ πολλὰ χρώμενος αὐτῷ κατώρθου.

Τοῦ δὲ Κικέρωνος ἀκμὴν ἔσχεν ἡ δύναμις ἐν τῇ πόλει τότε μεγίστην, καὶ κρατῶν ὅσον ἐβούλετο, τὸν μὲν Ἀντώνιον ἐξέκρουσε καὶ κατεστασίασε, καὶ πολεμήσοντας αὐτῷ τοὺς ὑπάτους Ἵρτιον καὶ Πάνσαν ἐξέπεμψε. Καίσαρι δὲ ῥαβδούχους καὶ στρατηγικὸν κόσμον, ὡς δὴ προπολεμοῦντι τῆς πατρίδος, ἔπεισε ψηφίσασθαι τὴν Σύγκλητον. ἐπεὶ δὲ Ἀντώνιος μὲν ἥττητο, τῶν δ᾽ ὑπάτων ἀμφοτέρων ἀποθανόντων ἐκ τῆς μάχης, πρὸς Καίσαρα συνέστησαν αἱ δυνάμεις, δείσασα ἡ βουλὴ νέον ἄνδρα, καὶ τύχῃ λαμπρᾷ κεχρημένον, ἐπειρᾶτο τιμαῖς καὶ δωρεαῖς ἀποκαλεῖν αὐτοῦ τὰ στρατεύματα, καὶ περισπᾶν αὐτοῦ τὴν δύναμιν, ὡς μὴ δεομένη τῶν προπολεμούντων, Ἀντωνίου πεφευγότος.

Οὕτως ὁ Καῖσαρ φοβηθεὶς, ὑπέπεμπε τῷ Κικέρωνι τοὺς δεομένους καὶ πείθοντας ὑπατείαν μὲν ἀμφοτέροις ὁμοῦ πράττειν, χρῆσθαι δὲ τοῖς πράγμασιν ὅπως αὐτὸς ἔγνωκε, παραλαμβάνοντα τὴν ἀρχὴν, καὶ τὸ μειράκιον διοικεῖν, ὀνόματος καὶ δόξης

Ministerio de Educación, Cultura y Deporte

γλιχόμενον· ὡμολόγει δὲ Καῖσαρ αὐτὸς ὡς δεδιὼς κατάλυσιν, καὶ κινδυνεύων, ἔρημος γενέσθαι, χρήσασθαι τῇ Κικέρωνος ἐν δέοντι φιλαρχίᾳ, προτρεψάμενος αὐτὸν ὑπατείαν μετιέναι, συμπράττοντος αὐτοῦ καὶ συναρχαιρεσιάζοντας.

Ἐνταῦθα μέντοι μάλιστα Κικέρων ἐπαρθεὶς ὑπὸ νέου γέρων, καὶ φενακισθεὶς καὶ συναρχαιρεσιάσας, καὶ παρασχὼν αὐτῷ τὴν σύγκλητον, εὐθὺς μὲν ὑπὸ τῶν φίλων αἰτίαν εἶχεν, ὀλίγῳ δ᾽ ὕστερον αὐτὸν ἀπολωλεκὼς ᾔσθετο, καὶ τοῦ δήμου προέμενος τὴν ἐλευθερίαν· αὐξηθεὶς γὰρ ὁ νεανίας, καὶ τὴν ὑπατείαν λαβών, Κικέρωνα μὲν εἴασε χαίρειν, Ἀντωνίῳ δὲ καὶ Λεπίδῳ φίλος γενόμενος, καὶ τὴν δύναμιν εἰς ταὐτὸ συνενεγκών, ὥσπερ ἄλλο τι κτῆμα, τὴν ἡγεμονίαν ἐνείματο πρὸς αὐτούς. καὶ κατεγράφησαν ἄνδρες οὓς ἔδει θνήσκειν, ὑπὲρ διακοσίους.

Πλείστην δὲ τῶν ἀμφισβητημάτων αὐτοῖς ἔριν ἡ Κικέρωνος προγραφὴ παρέσχεν· Ἀντωνίου μὲν ἀσυμβάτως ἔχοντος, εἰ μὴ πρῶτος ἐκεῖνος ἀποθνήσκοι· Λεπίδου δ᾽ Ἀντωνίῳ προστιθεμένου, Καίσαρος δὲ πρὸς ἀμφοτέρους ἀντέχοντος. ἐγίνοντο δ᾽ αἱ σύνοδοι μόνοις ἀπόρρητοι περὶ πόλιν Βονωνίαν ἐφ᾽ ἡμέρας τρεῖς, καὶ συνῄεσαν εἰς τόπον τινὰ πρόσω τῶν στρατοπέδων, ποταμῷ περιρρεόμενον.



Ministerio de Educación, Cultura y Deporte

Λέγεται δὲ τὰς πρώτας ἡμέρας διαγωνισάμενος ὑπὲρ τοῦ Κικέρωνος ὁ Καῖσαρ, ἐνδοῦναι τῇ τρίτῃ, καὶ προέσθαι τὸν ἄνδρα. τὰ δὲ τῆς ἀντιδόσεως οὕτως εἶχεν. ἔδει Κικέρωνος ἐκστῆναι Καίσαρα, Παύλου δὲ αὐτάδελφου Λέπιδον, Λευκίου δὲ Καίσαρος Ἀντώνιον, ὃς ἦν θεῖος αὐτῷ πρὸς μητρός. οὕτως ἐξέπεσον ὑπὸ θυμοῦ καὶ λύσσης τῶν ἀνθρωπίνων λογισμῶν, μᾶλλον δὲ ἀπέδειξαν ὡς οὐδὲν ἀνθρώπου θηρίον ἐστὶν ἀγριώτερον, ἐξουσίαν πάθει προσλαβόντος.

Πραττομένων δὲ τούτων, ὁ Κικέρων ἦν μὲν ἐν ἀγροῖς ἰδίοις περὶ Τοῦσκλον, ἔχων τὸν ἀδελφὸν μεθ' αὐτοῦ· πυθόμενοι δὲ τὰς προγραφάς, ἔγνωσαν εἰς Ἄστυρα μεταβῆναι, χωρίον παράλιον τοῦ Κικέρωνος· ἐκεῖθεν δὲ πλεῖν εἰς Μακεδονίαν πρὸς Βροῦτον· ἤδη γὰρ ὑπὲρ αὐτοῦ λόγος ἐφοίτα κρατοῦντος. ἐκομίζοντο δὲ ἐν φορείοις, ἀπειρηκότες ὑπὸ λύπης· καὶ κατὰ τὴν ὁδὸν ἐφιστάμενοι, καὶ τὰ φορεῖα παραβάλλοντες ἀλλήλοις, προσωλοφύροντο, μᾶλλον δὲ ὁ Κόϊντος ἠθύμει, καὶ λογισμὸς αὐτὸν εἰσῄει τῆς ἀπορίας. οὐδὲν γὰρ ἔφη λαβεῖν οἴκοθεν. ἀλλὰ καὶ τῷ Κικέρωνι γλίσχρον ἦν ἐφόδιον. ἄμεινον οὖν εἶναι, τὸν μὲν Κικέρωνα προλαμβάνειν τῇ φυγῇ, αὐτὸν δὲ μεταθεῖν, οἴκοθεν συσκευασάμενον. ταῦτ' ἔδοξε. καὶ περιβαλόντες ἀλλήλους καὶ ἀνακλαυσάμενοι διελύθησαν.

Ὁ μὲν οὖν Κοίντος οὐ πολλαῖς ὕστερον ἡμέραις ὑπὸ τῶν οἰκετῶν προδοθεὶς τοῖς ζητοῦσιν, ἀνῃρέθη μετὰ τοῦ παιδός· ὁ δὲ Κικέρων εἰς Ἄστυρα κομισθεὶς, καὶ πλοῖον εὑρὼν, εὐθὺς ἐνέβη, καὶ παρέπλευσεν ἄχρι Κιρκαίου, πνεύματι χρώμενος ἐκεῖθεν δὲ βουλομένων εὐθὺς αἴρειν τῶν κυβερνητῶν, εἴτε δείσας τὴν θάλασσαν, εἴτ᾽ οὔπω παντάπασι τὴν Καίσαρος ἀπεγνωκὼς πίστιν, ἀπέβη, καὶ παρῆλθε, πεζῇ σταδίους ἑκατὸν, ὡς εἰς Ῥώμην πορευόμενος. αὖθις δ᾽ ἀλύων καὶ μεταβαλλόμενος κατῄει πρὸς θάλασσαν. κἀκεῖ διενυκτέρευσεν ἐπὶ δεινῶν καὶ ἀπόρων λογισμῶν· ὥστε καὶ παρελθεῖν εἰς τὴν Καίσαρος οἰκίαν διενοήθη κρύφα, καὶ σφάξας ἑαυτὸν ἐπὶ τῆς ἑστίας, ἀλάστορα προσβαλεῖν. ἀλλὰ καὶ ταύτης αὐτὸν ἀπέκρουσε τῆς ὁδοῦ δέος βασάνων.

Καὶ τἆλλα ταραχώδη πάλιν προβουλεύματα τῆς γνώμης μεταλαμβάνων παρέδωκε τοῖς οἰκέταις ἑαυτὸν εἰς Καπίτας κατὰ πλοῦν κομίζειν, ἔχων ἐκεῖ χωρία καὶ καταφύγιον ὥρᾳ θέρους φιλάνθρωπον, ὅταν ἥδιστον οἱ ἐτησίαι καταπνέωσιν. ἔχει δ᾽ ὁ τόπος καὶ ναὸν Ἀπόλλωνος μικρὸν ὑπὲρ τῆς θαλάττης. ἐντεῦθεν ἀρθέντες ἀθρόοι κόρακες, ὑπὸ κλαγγῆς προσεφέροντο τῷ πλοίῳ τοῦ Κικέρωνος ἐπὶ γῆν ἐρεσσομένῳ. καὶ καθίσαντες ἐπὶ τὴν κεραίαν

ἑκατέρωθεν, οἱ μὲν ἐβόων, οἱ δ' ἔκοπτον τὰς τῶν μηρυμάτων ἀρχὰς, καὶ πᾶσιν ἐδόκει τὸ σημεῖον εἶναι πονηρόν.

Α'πέβη δ' οὖν ὁ Κικέρων, καὶ παρελθὼν εἰς τὴν ἔπαυλιν, ὡς ἀναπαυσόμενος κατεκλίθη. τῶν δὲ κοράκων οἱ πολλοὶ μὲν ἐπὶ τῆς θυρίδος διεκάθηντο φθεγγόμενοι θορυβωδές· εἷς δὲ καταβὰς ἐπὶ τὸ κλινίδιον, ἐγκεκαλυμμένου τοῦ Κικέρωνος, ἀπῆγε τῷ στόματι κατὰ μικρὸν ἀπὸ τοῦ προσώπου τὸ ἱμάτιον. οἱ δ' οἰκέται ταῦθ' ὁρῶντες, καὶ κακίσαντες ἑαυτοὺς, εἰ περιμένουσι τοῦ δεσπότου φονευομένου θεαταὶ γενέσθαι, θηρία δ' αὐτῷ βοηθεῖ καὶ προκήδεται παρ' ἀξίαν πράττοντος, αὐτοὶ δ' οὐκ ἀμύνουσι· τὰ μὲν, δεόμενοι, τὰ δὲ, βίᾳ λαβόντες, ἐκόμιζον ἐν τῷ φορείῳ πρὸς τὴν θάλασσαν.

Ε'ν τούτῳ δ' οἱ σφαγεῖς ἐπῆλθον, ἑκατοντάρχης Ε'ρέννιος καὶ Ποπίλλιος χιλίαρχος (ᾧ πατροκτονίας ποτὲ δίκην φεύγοντι συνεῖπεν ὁ Κικέρων) ἔχοντες ὑπηρέτας. ἐπεὶ δὲ τὰς θύρας κεκλεισμένας εὑρόντες ἐξέκοψαν, οὐ φαινομένου τοῦ Κικέρωνος, οὐδὲ τῶν ἔνδον εἰδέναι φασκόντων, λέγεται νεανίσκον τινὰ τεθραμμένον μὲν ὑπὸ τοῦ Κικέρωνος ἐν γράμμασιν ἐλευθερίοις καὶ μαθήμασιν, ἀπελεύθερον δὲ Κοΐντου τοῦ ἀδελφοῦ, Φιλόλογον τοὔρ-

Ministerio de Educación, Cultura y Deporte

μα, φράσαι τῷ χιλιάρχῳ τὸ φορεῖον κομιζόμενον διὰ τῶν καταφύτων καὶ συσκίων περιπάτων ἐπὶ τὴν θάλατταν.

Ὁ μὲν οὖν χιλίαρχος, ὀλίγους ἀναλαβὼν μεθ' ἑαυτοῦ, περιέθει πρὸς τὴν ἔξοδον. τοῦ δ' Ἑρεννίου δρόμῳ φερομένου διὰ τῶν περιπάτων ὁ Κικέρων ᾔσθετο, καὶ τοὺς οἰκέτας ἐκέλευσεν ἐνταῦθα καταθέσθαι τὸ φορεῖον. αὐτὸς δ', ὥσπερ εἰώθει, τῇ ἀριστερᾷ χειρὶ τῶν γενείων ἁπτόμενος, ἀτενὲς ἑώρα τοῖς σφαγεῦσιν, αὐχμοῦ καὶ κόμης ἀνάπλεως, καὶ συντετηκὼς ὑπὸ φροντίδων τὸ πρόσωπον· ὥστε τοὺς πλείστους ἐγκαλύψασθαι τοῦ Ἑρεννίου σφάζοντος αὐτόν. ἐσφάγη δὲ τὸν τράχηλον ἐκ τοῦ φορείου προτείνας, ἔτος ἐκεῖνο γεγονὼς ἑξηκοστὸν καὶ τέταρτον. τὴν δὲ κεφαλὴν ἀπέκοψεν αὐτοῦ καὶ τὰς χεῖρας, Ἀντωνίου κελεύσαντος, αἷς τοὺς φιλιππικοὺς ἔγραψεν, αὐτός τε γὰρ ὁ Κικέρων τοὺς κατ' Ἀντωνίου λόγους Φιλιππικοὺς ἐπέγραψε, καὶ μέχρι νῦν τὰ βιβλία Φιλιππικοὶ καλοῦνται.

Τῶν δ' ἀκρωτηρίων εἰς Ῥώμην κομισθέντων, ἔτυχε μὲν ἀρχαιρεσίας τελῶν ὁ Ἀντώνιος, ἀκούσας δὲ καὶ ἰδὼν ἀνεβόησεν ὡς νῦν αἱ προγραφαὶ τέλος ἔχοιεν. τὴν δὲ κεφαλὴν καὶ τὰς χεῖρας ἐκέλευσεν ὑπὲρ τῶν ἐμβόλων ἐπὶ τοῦ βήματος θεῖναι, θέαμα Ῥωμαίοις φρικτόν, οὐ τὸ Κικέρωνος ὁρᾶν πρόσω-

Ministerio de Educación, Cultura y Deporte

πον οἰομένοις, ἀλλὰ τῆς Ἀντωνίου ψυχῆς εἰκόνα. πλὴν ἕν γέ τι φρονήσας μέτριον ἐν τούτοις, Πομπωνίᾳ τῇ Κοΐντου γυναικὶ τὸν Φιλόλογον παρέδωκεν. ἡ δὲ, κυρία γενομένη τοῦ σώματος, ἄλλαις τε δειναῖς ἐχρήσατο τιμωρίαις, καὶ τὰς σάρκας ἀποτέμνοντα τὰς αὐτοῦ κατὰ μικρὸν, ὀπτᾶν, εἶτ᾽ ἐσθίειν ἠνάγκασεν. οὕτω γὰρ ἔνιοι τῶν συγγραφέων ἱστορήκασιν. ὁ δ᾽ αὐτοῦ τοῦ Κικέρωνος ἀπελεύθερος Τύρων τὸ παράπαν οὐδὲ μέμνηται τῆς τοῦ Φιλολόγου προδοσίας.

Πυνθάνομαι δὲ Καίσαρα χρόνοις πολλοῖς ὕστερον εἰσελθεῖν πρὸς ἕνα τῶν θυγατριδῶν· τὸν δὲ, βιβλίον, ἔχοντα Κικέρωνος ἐν ταῖς χερσὶν, ἐκπλαγέντα τῷ ἱματίῳ περικαλύπτειν· ἰδόντα δὲ Καίσαρα, λαβεῖν καὶ διελθεῖν ἑστῶτα μέρος πολὺ τοῦ βιβλίου. πάλιν δὴ ἀποδιδόντα τῷ μειρακίῳ, φάναι, Λόγιος ἀνὴρ, ὦ παῖ, λόγιος καὶ φιλόπατρις· ἐπεὶ μέντοι τάχιστα κατεπολέμησεν Ἀντώνιον ὑπατεύων αὐτὸς, εἵλετο συνάρχοντα τοῦ Κικέρωνος τὸν υἱὸν, ἐφ᾽ οὗ τάς τ᾽ εἰκόνας ἡ βουλὴ ἀνεῖλεν Ἀντωνίου καὶ τὰς ἄλλας ἠκύρωσε τιμὰς, καὶ προσεψηφίσατο μηδενὶ τῶν Ἀντωνίων ὄνομα Μάρκον εἶναι. οὕτω τὸ δαιμόνιον εἰς τὸν Κικέρωνος οἶκον ἐπανήνεγκε τὸ τέλος τῆς Ἀντωνίου κολάσεως.

ΤΕΛΟΣ.

Ministerio de Educación, Cultura y Deporte

Apud J. BARBOU, viâ Mathurinensium.

# ΠΛΟΥΤΑΡΧΟΥ

## ΔΗΜΟΣΘΕΝΗΣ.

ΔΗΜΟΣΘΕΝΗΣ ὁ πατὴρ Δημοσθένους, ἦν μὲν τῶν καλῶν καὶ ἀγαθῶν ἀνδρῶν (ὡς ἱστορεῖ Θεόπομπος) ἐπεκαλεῖτο δὲ Μαχαιροποιὸς, ἐργαστήριον ἔχων μέγα, καὶ δούλους τεχνίτας τοῦτο πράττοντας. ἃ δ᾽ Αἰσχίνης ὁ ῥήτωρ εἴρηκε περὶ τῆς μητρὸς, ὡς ἐκ Γύλωνός τινος ἐπ᾽ αἰτίᾳ προδοσίας φυγόντος ἐξ ἄστεος ἐγεγόνει, καὶ βαρβάρου γυναικὸς, οὐκ ἔχομεν εἰπεῖν εἴτ᾽ ἀληθῶς εἴρηκεν, εἴτε βλασφημῶν καὶ καταψευδόμενος.

Ἀπολειφθεὶς δ᾽ ὁ Δημοσθένης ὑπὸ τοῦ πατρὸς ἑπταέτης ἐν εὐπορίᾳ (μικρὸν γὰρ ἀπέλιπεν ἡ σύμπασα τίμησις αὐτοῦ τῆς οὐσίας πεντεκαίδεκα ταλάντων) ὑπὸ τῶν ἐπιτρόπων ἠδικήθη, τὰ μὲν νοσφισαμένων, τὰ δ᾽ ἀμελησάντων· ὥς τε καὶ τῶν διδασκάλων αὐτοῦ τὸν μισθὸν ἀποστερῆσαι. διά τε δὴ τοῦτο τῶν ἐμμελῶν καὶ προσηκόντων ἐλευθέρῳ παιδὶ μαθημάτων ἀπαίδευτος δοκεῖ γενέσθαι, καὶ διὰ τὴν τοῦ σώματος ἀσθένειαν καὶ θρύψιν, οὐ προϊεμένης τοῖς πόνοις τῆς μητρὸς αὐτὸν, οὐδὲ προσβιαζομένων



Ministerio de Educación, Cultura y Deporte

τῶν παιδαγωγῶν. ἦν γὰρ ἐξ ἀρχῆς κάτισχνός τε καὶ νοσώδης, καὶ τὴν λοιδορουμένην ἐπωνυμίαν τὸν Βάταλον εἰς τὸ σῶμα λέγεται σκωπτόμενος ὑπὸ τῶν παίδων λαβεῖν. ἦν δὲ ὁ Βάταλος (ὡς μὲν ἔνιοί φασιν) αὐλητὴς τῶν κατεαγότων· καὶ δραμάτιον εἰς τοῦτο κωμῳδῶν αὐτὸν Ἀντιφάνης πεποίηκεν. ἔνιοι δέ τινες ὡς ποιητοῦ τρυφερὰ καὶ παροίνια γράφοντος τοῦ Βατάλου μέμνηνται. δοκεῖ δὲ καὶ τῶν οὐκ εὐπρεπῶν τι λεχθῆναι τοῦ σώματος μορίων παρὰ τοῖς Ἀττικοῖς τότε καλεῖσθαι βάταλος. ὁ δ' Ἀργᾶς (καὶ τοῦτο γάρ φασι τῷ Δημοσθένει γενέσθαι παρώνυμον) ἢ πρὸς τὸν τρόπον ὡς θηριώδη καὶ πικρὸν, ἐτέθη, (τὸν γὰρ ὄφιν ἔνιοι τῶν ποιητῶν ἄργαν ὀνομάζουσιν) ἢ πρὸς τὸν λόγον, ὡς ἀνιῶντα τοὺς ἀκροωμένους. καὶ γὰρ Ἄργας τοὔνομα ποιητὴς ἦν νόμων πονηρῶν καὶ ἀργαλέων. καὶ ταῦτα μὲν ταύτῃ κατὰ Πλάτωνα.

Τῆς δὲ πρὸς τοὺς λόγους ὁρμῆς ἀρχὴν αὐτῷ φασι τοιαύτην γενέσθαι. Καλλιστράτου τοῦ ῥήτορος ἀγωνίζεσθαι τὴν περὶ Ὠρωποῦ κρίσιν ἐν τῷ δικαστηρίῳ μέλλοντος, ἦν προσδοκία τῆς δίκης μεγάλη, διά τε τὴν τοῦ ῥήτορος δύναμιν, ἀνθοῦντος τότε μάλιστα τῇ δόξῃ, καὶ διὰ τὴν πρᾶξιν οὖσαν περιβόητον. ἀκούσας οὖν ὁ Δημοσθένης τῶν διδασκάλων καὶ τῶν παιδαγωγῶν συντιθεμένων τῇ δίκῃ παρατυχεῖν, ἔπεισε τὸν ἑαυτοῦ παιδαγωγὸν δεόμενος καὶ

Ministerio de Educación, Cultura y Deporte

προθυμούμενος, ὅπως αὐτὸν ἀγάγοι πρὸς τὴν ἀκρόασιν. ὁ δ' ἔχων πρὸς τοὺς ἀνοίγοντας τὰ δικαστήρια δημοσίους συνήθειαν, εὐπόρησε χώρας ἐν ᾗ καθήμενος ὁ παῖς ἀδήλως ἀκούσεται τῶν λεγομένων. εὐημερήσαντος δὲ τοῦ Καλλιστράτου, καὶ θαυμασθέντος ὑπερφυῶς, ἐκείνου μὲν ἐζήλωσε τὴν δόξαν, ὁρῶν προπεμπόμενον ὑπὸ τῶν πολλῶν καὶ μακαριζόμενον· τοῦ δὲ λόγου μᾶλλον ἐθαύμασε τὴν ἰσχὺν πάντα χειροῦσθαι καὶ τιθασεύειν πεφυκότος. ὅθεν ἐάσας τὰ λοιπὰ μαθήματα, καὶ τὰς παιδικὰς διατριβάς, αὐτὸς αὑτὸν ἤσκει καὶ διεπόνει ταῖς μελέταις, ὡς τῶν λεγόντων ἐσόμενος.

Ἐχρήσατο δὲ Ἰσαίῳ πρὸς τὸν λόγον ὑφηγητῇ, καίπερ Ἰσοκράτους τότε σχολάζοντος, εἴτε (ὥς τινες λέγουσι) τὸν ὡρισμένον μισθὸν Ἰσοκράτει τελέσαι μὴ δυνάμενος, τὰς δέκα μνᾶς, διὰ τὴν ὀρφανίαν· εἴτε μᾶλλον τοῦ Ἰσαίου τὸν λόγον, ὡς δραστήριον καὶ πανοῦργον, ἐπὶ τὴν χρείαν ἀποδεχόμενος. Ἕρμιππος δέ φησιν ἀδεσπότοις ὑπομνήμασιν ἐντυχεῖν ἐν οἷς ἐγέγραπτο τὸν Δημοσθένη συνεσχολακέναι Πλάτωνι, καὶ πλεῖστον εἰς τοὺς λόγους ὠφελεῖσθαι· Κτησιβίου δὲ μέμνηται λέγοντος παρὰ Καλλίου τοῦ Συρακουσίου, καί τινων ἄλλων τὰς Ἰσοκράτους τέχνας καὶ τὰς Ἀλκιδάμαντος κρύφα λαβόντα τὸν Δημοσθένη καταμαθεῖν.



Ministerio de Educación, Cultura y Deporte

ὡς οὖν ἐν ἡλικίᾳ γενόμενος τοῖς ἐπιτρόποις ἤρξατο δικάζεσθαι, καὶ λογογραφεῖν ἐπ᾽ αὐτοὺς, πολλὰς διαδύσεις καὶ παλινδικίας εὑρίσκοντας, ἐγγυμνασάμενος κατὰ τὸν Θουκυδίδην ταῖς μελέταις, οὐκ ἀκινδύνως οὐδ᾽ ἀργῶς κατευτυχήσας, ἐκπρᾶξαι μὲν οὐδὲ πολλοστὸν ἠδυνήθη μέρος τῶν πατρῴων, τόλμαν δὲ πρὸς τὸ λέγειν καὶ συνήθειαν ἱκανὴν λαβὼν, καὶ γευσάμενος τῆς περὶ τοὺς ἀγῶνας φιλοτιμίας καὶ δυνάμεως, ἐπεχείρησεν εἰς μέσον παριέναι, καὶ τὰ κοινὰ πράττειν. καὶ, καθάπερ Λαομέδοντα τὸν Ὀρχομένιον λέγουσι καχεξίαν τινὰ σπληνὸς ἀμυνόμενον, δρόμοις μακροῖς χρῆσθαι, τῶν ἰατρῶν κελευσάντων, εἶθ᾽ οὕτως διαπονήσαντα τὴν ἕξιν, ἐπιθέσθαι τοῖς στεφανίταις ἀγῶσι, καὶ τῶν ἄκρων γενέσθαι δολιχοδρόμων· οὕτως τῷ Δημοσθένει συνέβη, τὸ πρῶτον ἐπανορθώσεως ἕνεκα τῶν ἰδίων ἀποδύντι πρὸς τὸ λέγειν, ἐκ δὲ τούτου κτησαμένῳ δεινότητα καὶ δύναμιν, ἐν τοῖς πολιτικοῖς ἤδη καθάπερ στεφανίταις ἀγῶσι πρωτεύειν τῶν ἀπὸ τοῦ βήματος ἀγωνιζομένων πολιτῶν.

Καί τοι τὸ πρῶτον ἐντυγχάνων τῷ δήμῳ, θορύβοις περιέπιπτε, καὶ κατεγελᾶτο δι᾽ ἀήθειαν τοῦ λόγου συγκεχύσθαι ταῖς περιόδοις καὶ βεβασανίσθαι τοῖς ἐνθυμήμασι πικρῶς ἄγαν καὶ κατακόρως δοκοῦντος. ἦν δέ τις (ὡς ἔοικε) καὶ φωνῆς ἀσθένεια,

Ministerio de Educación, Cultura y Deporte

καὶ γλώττης ἀσάφεια, καὶ πνεύματος κολοβότης, ἐπιταράττουσα τὸν νοῦν τῶν λεγομένων, τῷ διασπᾶσθαι τὰς περιόδους. τέλος δ' ἀποστάντα τοῦ δήμου, καὶ ῥεμβόμενον ἐν Πειραιεῖ δι' ἀθυμίαν Εὐνόμιος ὁ Θριάσιος ἤδη πάνυ γέρων θεασάμενος ἐπετίμησεν, ὅτι τὸν λόγον ἔχων ὁμοιότατον τῷ Περικλέους, προδίδωσιν ὑπ' ἀτολμίας καὶ μαλακίας ἑαυτὸν, οὔτε τοὺς ὄχλους ὑφιστάμενος εὐθαρσῶς, οὔτε τὸ σῶμα πρὸς τοὺς ἀγῶνας ἐξαρτυόμενος, ἀλλὰ τρυφῇ περιορῶν μαραινόμενον.

Πάλιν δέ ποτε φασὶν, ἐκπεσόντος αὐτοῦ, καὶ ἀπιόντος οἴκαδε συγκεκαλυμμένου καὶ βαρέως φέροντος, ὑπακολουθῆσαι Σάτυρον τὸν ὑποκριτὴν, ἐπιτήδειον ὄντα, καὶ συνελθεῖν· ὀδυρομένου δὲ τοῦ Δημοσθένους πρὸς αὐτὸν, ὅτι πάντων φιλοπονώτατος ὢν τῶν λεγόντων, καὶ μικροῦ δέων καταναλωκέναι τὴν τοῦ σώματος ἀκμὴν εἰς τοῦτο, χάριν οὐκ ἔχει πρὸς τὸν δῆμον, ἀλλὰ κραιπαλῶντες ἄνθρωποι ναῦται καὶ ἀμαθεῖς ἀκούονται καὶ κατέχουσι τὸ βῆμα, παρορᾶται δ' αὐτὸς, Ἀληθῆ λέγεις ὦ Δημόσθενες (φάναι τὸν Σάτυρον) ἀλλ' ἐγὼ τὸ αἴτιον ἰάσομαι ταχέως, ἄν μοι τῶν Εὐριπίδου τινὰ ῥήσεων ἢ Σοφοκλέους ἐθελήσῃς εἰπεῖν ἀπὸ στόματος· εἰπόντος δὲ τοῦ Δημοσθένους μεταλαβόντα τὸν Σάτυρον, οὕτω πλάσαι καὶ διεξελθεῖν ἐν ἤθει πρέποντι καὶ διαθέσει



Ministerio de Educación, Cultura y Deporte

τὴν αὑτοῦ ῥῆσιν, ὥσθ' ὅλως ἑτέραν τῷ Δημοσθένει φανῆναι. πεισθέντα δ' ὅσον ἐκ τῆς ὑποκρίσεως τῷ λόγῳ κόσμου καὶ χάριτος πρόσεστι, μικρὸν ἡγήσασθαι καὶ τὸ μηδὲν εἶναι τὴν ἄσκησιν, ἀμελοῦντι τῆς προφορᾶς καὶ διαθέσεως τῶν λεγομένων. ἐκ τούτου κατάγειον μὲν οἰκοδομῆσαι μελετητήριον· (ὃ δὴ διεσώζετο καὶ καθ' ἡμᾶς) ἐνταῦθα δὲ πάντως μὲν ἑκάστης ἡμέρας προσιόντα πλάττειν τὴν ὑπόκρισιν, καὶ διαπονεῖν τὴν φωνήν· πολλάκις δὲ καὶ μῆνας ἑξῆς δύο καὶ τρεῖς συνάπτειν, ξυρούμενον τῆς κεφαλῆς θάτερον μέρος, ὑπὲρ τοῦ μηδὲ βουλομένῳ πάνυ προελθεῖν ἐνδέχεσθαι δι' αἰσχύνην.

Οὐ μὴν ἀλλὰ καὶ τὰς πρὸς τοὺς ἐκτὸς ἐντεύξεις καὶ λόγους καὶ ἀσχολίας, ὑποθέσεις ἐποιεῖτο καὶ ἀφορμὰς τοῦ φιλοπονεῖν. ἀπαλλαγεὶς γὰρ αὐτῶν, τάχιστα κατέβαινεν εἰς τὸ μελετητήριον, καὶ διεξῄει τάς τε πράξεις ἐφεξῆς καὶ τοὺς ὑπὲρ αὐτῶν ἀπολογισμούς. ἔτι δὲ τοὺς λόγους οἷς παρέτυχε λεγομένοις, ἀναλαμβάνων εἰς ἑαυτὸν, εἰς γνώμας ἀνῆγε καὶ περιόδους· ἐπανορθώσεις τε παντοδαπὰς καὶ μεταφράσεις ἐκαινοτόμει τῶν εἰρημένων ὑφ' ἑτέρων πρὸς αὐτὸν, ἢ ὑφ' αὐτοῦ πάλιν εἰς ἄλλον. ἐκ τούτου δόξαν εἶχεν ὡς οὐκ εὐφυὴς ὢν, ἀλλ' ἐκ πόνου συγκειμένῃ δεινότητι καὶ δυνάμει χρώμενος.

Ἐδόκει τε τούτου σημεῖον εἶναι μέγα, τὸ μὴ

Ministerio de Educación, Cultura y Deporte

ῥᾳδίως ἀκοῦσαί τινα Δημοσθένοις ἐπὶ καιροῦ λέγοντος, ἀλλὰ καὶ καθήμενον ἐν ἐκκλησίᾳ πολλάκις τοῦ δήμου καλοῦντος ὀνομαστὶ, μὴ παρελθεῖν, εἰ μὴ τύχοι πεφροντικὼς καὶ παρεσκευασμένος εἰς τοῦτο. ἄλλοι τε πολλοὶ τῶν δημαγωγῶν ἐχλεύαζον αὐτὸν, καὶ Πυθέας ἐπισκώπτων, ἐλλυχνίων ἔφησεν ὄζειν αὐτοῦ τὰ ἐνθυμήματα. τοῦτον μὲν οὖν ἠμείψατο πικρῶς ὁ Δημοσθένης, Οὐ ταυτὰ γὰρ (εἶπεν) ἐμοὶ καὶ σοὶ, ὦ Πυθέα, ὁ λύχνος σύνοιδε.

Πρὸς δὲ τοὺς ἄλλους οὐ παντάπασιν ἦν ἔξαρνος, ἀλλ' οὔτε γράψας, οὔτ' ἄγραφα κομιδῇ λέγειν ὡμολόγει. καὶ μέντοι δημοτικὸν ἀπέφαινεν ἄνδρα τὸν λέγειν μελετῶντα. θεραπείας γὰρ εἶναι τοῦτο δήμου παρασκευήν. τὸ δ' ὅπως ἕξουσιν οἱ πολλοὶ πρὸς τὸν λόγον ἀφροντιστεῖν, ὀλιγαρχικοῦ, καὶ βίᾳ μᾶλλον ἢ πειθοῖ προσέχοντος.

Τῆς δὲ πρὸς καιρὸν ἀτολμίας αὐτῷ καὶ τοῦτο ποιοῦνται σημεῖον, ὅτι Δημάδης μὲν ἐκείνῳ θορυβηθέντι πολλάκις ἀναστὰς ἐκ προχείρου συνεῖπεν, ἐκεῖνος δ' οὐδέποτε Δημάδῃ. πόθεν οὖν (φαίη τις ἂν) ὁ Αἰσχίνης πρὸς τὴν ἐν τοῖς λόγοις τόλμαν θαυμασιώτατον ἀπεκάλει τὸν ἄνδρα; πῶς δὲ Πύθωνι τῷ Βυζαντίῳ θρασυνομένῳ καὶ ῥέοντι πολλῷ κατὰ τῶν Ἀθηναίων, ἀναστὰς μόνος ἀντεῖπε; ἢ Λαμάχου τοῦ Μυρρηναίου γεγραφότος ἐγκώμιον Ἀλεξάν-



Ministerio de Educación, Cultura y Deporte

δρε καὶ Φιλίππε τῶν βασιλέων, ἐν ᾧ πολλὰ Θηβαίοις καὶ Ὀλυνθίοις εἰρήκει κακῶς, καὶ ἀναγινώσκοντος Ὀλυμπιάσι, παραναςὰς, καὶ διεξελθὼν μεθ' ἱςορίας καὶ ἀποδείξεως ὅσα Θηβαίοις καὶ Χαλκιδεῦσιν ὑπάρχει καλὰ πρὸς τὴν Ἑλλάδα, καὶ πάλιν ὅσων αἴτιοι κακῶν γεγόνασιν οἱ κολακεύοντες Μακεδόνας, οὕτως ἐπέςρεψε τοὺς παρόντας, ὥςε δείσαντα τῷ θορύβῳ τὸν σοφιςὴν, ὑπεκδῦναι τῆς πανηγύρεως.

Ἀλλ' ἔοικεν ὁ ἀνὴρ τὰ Περικλέους τὰ μὲν ἄλλα μὴ πρὸς αὐτὸν ἡγήσασθαι, τὸ δὲ πλάσμα καὶ τὸν σχηματισμὸν αὐτοῦ, καὶ τὸ μὴ ταχέως μηδὲ περὶ παντὸς ἐκ τοῦ παριςαμένου λέγειν, ὥσπερ ἐκ τούτων μεγάλου γεγονότος, ζηλῶν καὶ μιμούμενος, οὐ πάνυ προσίεσθαι τὴν ἐν τῷ καιρῷ δόξαν, οὐδ' ἐπὶ τύχῃ πολλάκις ἑκὼν εἶναι ποιεῖσθαι τὴν δύναμιν.

Ἐπεὶ τόλμαν γε καὶ θάρσος οἱ λεχθέντες ὑπ' αὐτοῦ λόγοι τῶν γραφέντων μᾶλλον εἶχον, εἴπερ δεῖ πιςεύειν Ἐρατοσθένει, καὶ Δημητρίῳ τῷ Φαληρεῖ, καὶ τοῖς κωμικοῖς· ὧν Ἐρατοσθένης μέν φησιν αὐτὸν ἐν τοῖς λόγοις πολλαχοῦ γεγονέναι παράβακχον· ὁ δὲ Φαληρεὺς τὸν ἔμμετρον ἐκεῖνον ὅρκον ὀμόσαι ποτὲ πρὸς τὸν δῆμον ὥσπερ ἐνθουσιῶντα, Μὰ γῆν, μὰ κρήνας, μὰ ποταμοὺς, μὰ νάματα.

Ministerio de Educación, Cultura y Deporte

Τῶν δὲ κωμικῶν ὁ μέν τις αὐτὸν ἀποκαλεῖ ῥωποπερπερήθραν. ὁ δὲ παρασκώπτων, ὡς χρώμενον τῷ ἀντιθέτῳ, φησίν, Οὗτος ἀπέλαβεν ὥσπερ ἔλαβεν. ἠγάπησε γὰρ τὸ ῥῆμα τοῦτο παραλαβὼν Δημοσθένης. ἐκτὸς εἰ μὴ νὴ Δία πρὸς τὸν ὑπὲρ Ἁλονήσου λόγον ὁ Ἀντιφάνης καὶ τουτὶ πέπαιχεν, ἣν Ἀθηναίοις Δημοσθένης συνεβούλευσε μὴ λαμβάνειν, ἀλλ᾽ ἀπολαμβάνειν παρὰ Φιλίππου. πλὴν τόν γε Δημάδην πάντες ὡμολόγουν τῇ φύσει χρώμενον ἄμαχον εἶναι, καὶ παραφέρειν αὐτὸν σχεδιάζοντα τὰς τοῦ Δημοσθένους σκέψεις καὶ παρασκευάς.

Ἀρίστων δ᾽ ὁ Χῖος καὶ Θεοφράστου τινὰ δόξαν ἱστόρηκε περὶ τῶν ῥητόρων. ἐρωτηθέντα γὰρ ὁποῖός τις αὐτῷ φαίνεται ῥήτωρ ὁ Δημοσθένης, εἰπεῖν, Ἄξιος τῆς πόλεως· ὁποῖος δὲ Δημάδης, Ὑπὲρ τὴν πόλιν. ὁ δ᾽ αὐτὸς φιλόσοφος Πολύευκτον ἱστορεῖ τὸν Σφήττιον, ἕνα τῶν τότε πολιτευομένων Ἀθήνησιν, ἀποφαίνεσθαι μέγιστον μὲν εἶναι ῥήτορα Δημοσθένη, δυνατώτατον δὲ εἰπεῖν, Φωκίωνα. πλεῖστον γὰρ ἐν βραχυτάτῃ λέξει νοῦν ἐκφέρειν. καὶ μέντοι καὶ τὸν Δημοσθένη φασὶν αὐτὸν ὁσάκις ἂν ἀντερῶν αὐτῷ Φωκίων ἀναβαίνοι, λέγειν πρὸς τοὺς συνήθεις, Ἡ τῶν ἐμῶν λόγων κοπὶς ἀνίσταται. τοῦτο μὲν οὖν ἄδηλον εἴτε πρὸς τὸν λόγον τοῦ ἀνδρὸς ὁ Δημοσθένης, εἴτε πρὸς τὸν βίον καὶ τὴν δόξαν ἐπε-

Ministerio de Educación, Cultura y Deporte

πόνθει, πολλῶν πάνυ καὶ μακρῶν περιόδων ἓν ῥῆμα καὶ νεῦμα πίστιν ἔχοντος ἀνθρώπου κυριώτερον ἡγούμενος.

Τοῖς δὲ σωματικοῖς ἐλαττώμασι τοιαύτην ἐπῆγεν ἄσκησιν, ὡς ὁ Φαληρεὺς Δημήτριος ἱστορεῖ, λέγων αὐτοῦ Δημοσθένους ἀκούειν πρεσβύτου γεγονότος, τὴν μὲν ἀσάφειαν καὶ τραυλότητα τῆς γλώττης ἐκβιάζεσθαι καὶ διαρθροῦν εἰς τὸ στόμα ψήφους λαμβάνοντα, καὶ ῥήσεις ἅμα λέγοντα· τὴν δὲ φωνὴν ἐν τοῖς δρόμοις γυμνάζεσθαι, καὶ ταῖς πρὸς τὰ σιμὰ προσβάσεσι διαλεγόμενον, καὶ λόγους τινὰς ἢ στίχους ἅμα τῷ πνεύματι πυκνουμένῳ προσφερόμενον. εἶναι δ' αὐτῷ μέγα κάτοπτρον οἴκοι, καὶ πρὸς τοῦτο τὰς μελέτας ἐξ ἐναντίας ἱστάμενον περαίνειν.

Λέγεται δ' ἀνθρώπου προσελθόντος δεομένου συνηγορίας, καὶ διεξιόντος ὡς ὑπό του λάβοι πληγάς, Ἀλλὰ σύ γε (φάναι τὸν Δημοσθένην) τούτων ὧν λέγεις οὐδὲν πέπονθας. ἐπιτείναντος δὲ τὴν φωνὴν τοῦ ἀνθρώπου, καὶ βοῶντος, Ἐγὼ Δημόσθενες οὐδὲν πέπονθα; Νὴ Δία (φάναι) νῦν ἀκούω φωνὴν ἀδικουμένου καὶ πεπονθότος. οὕτως ᾤετο μέγα πρὸς πίστιν εἶναι τὸν τόνον καὶ τὴν ὑπόκρισιν τῶν λεγόντων.

Τοῖς μὲν οὖν πολλοῖς ὑποκρινόμενος ἤρεσκε θαυμαστῶς, οἱ δὲ χαρίεντες ταπεινὸν ἡγοῦντο καὶ ἀγεννὲς αὐτοῦ τὸ πλάσμα καὶ μαλακόν· ὧν καὶ Δη-

Ministerio de Educación, Cultura y Deporte

μήτριος ὁ Φαληρεὺς ἐστίν. Αἰσίωνα δέ φησιν Ἕρμιππος ἐρωτηθέντα περὶ τῶν πάλαι ῥητόρων καὶ τῶν καθ' αὐτὸν, εἰπεῖν, ὡς ἀκούων μὲν ἄν τις ἐθαύμασεν ἐκείνους εὐκόσμως καὶ μεγαλοπρεπῶς τῷ δήμῳ διαλεγομένους· ἀναγινωσκόμενοι δ' οἱ Δημοσθένους λόγοι, πολὺ τῇ κατασκευῇ καὶ δυνάμει διαφέρουσιν.

Οἱ μὲν οὖν γεγραμμένοι τῶν λόγων ὅτι τὸ αὐστηρὸν πολὺ καὶ πικρὸν ἔχουσι, τί ἂν λέγοι τις; ἐν δὲ ταῖς ἀπαντήσεσι ταῖς παρὰ τὸν καιρὸν, ἐχρῆτο καὶ τῷ γελοίῳ. Δημάδου μὲν γὰρ εἰπόντος, Ἐμὲ Δημοσθένης, ἡ ὗς τὴν Ἀθηνᾶν· Αὕτη (εἶπεν) ἡ Ἀθηνᾶ πρώην ἐν Κολλυτῷ μοιχεύουσα ἐλήφθη. πρὸς δὲ τὸν κλέπτην, ὃς ἐπεκαλεῖτο Χαλκοῦς, καὶ αὐτὸν εἰς τὰς ἀγρυπνίας αὐτοῦ καὶ νυκτογραφίας πειρώμενόν τι λέγειν, Οἶδα (εἶπεν) ὅτι σε λυπῶ λύχνον καίων. ὑμεῖς δὲ ὦ ἄνδρες Ἀθηναῖοι, μὴ θαυμάζετε τὰς γενομένας κλοπὰς, ὅταν τοὺς μὲν κλέπτας χαλκοῦς, τοὺς δὲ τοίχους, πηλίνους ἔχωμεν. ἀλλὰ περὶ μὲν τούτων καίπερ ἔτι πλείω λέγειν ἔχοντες, ἐνταῦθα παυσόμεθα. τὸν δ' ἄλλον αὐτοῦ τρόπον, καὶ τὸ ἦθος ἀπὸ τῶν πράξεων καὶ τῆς πολιτείας θεωρεῖσθαι δίκαιόν ἐστιν.

Ὥρμησε μὲν οὖν ἐπὶ τὸ πράττειν τὰ κοινὰ, τοῦ Φωκικοῦ πολέμου συνεστῶτος, ὡς αὐτός τε φησὶ,

Ministerio de Educación, Cultura y Deporte

καὶ λαβεῖν ἐστιν ἀπὸ τῶν Φιλιππικῶν δημηγοριῶν. αἱ μὲν γὰρ, ἤδη διαπεπραγμένων ἐκείνων γεγόνασιν, αἱ δὲ πρεσβύταται, τῶν ἔγγιστα πραγμάτων ἅπτονται. δῆλος δ' ἐστὶ καὶ τὴν κατὰ Μειδίου παρασκευασάμενος εἰπεῖν δίκην, δύο μὲν ἐπὶ τοῖς τριάκοντα γεγονὼς ἔτη, μηδέπω δ' ἔχων ἰσχὺν ἐν τῇ πολιτείᾳ μηδὲ δόξαν. ὃ καὶ μάλιστά μοι δοκεῖ δείσας, ἐπ' ἀργυρίῳ καταθέσθαι τὴν πρὸς τὸν ἄνθρωπον ἔχθραν. Οὐ γάρ τι γλυκύθυμος ἀνὴρ ἦν, οὐδ' ἀγανόφρων, ἀλλ' ἔντονος καὶ βίαιος περὶ τὰς ἀμύνας· ὁρῶν δ' οὐ φαῦλον, οὐδὲ τῆς αὑτοῦ δυνάμεως ἔργον, ἄνδρα καὶ πλούτῳ καὶ λόγῳ καὶ φίλοις εὖ πεφραγμένον καθελεῖν τὸν Μειδίαν, ἐνέδωκε τοῖς ὑπὲρ αὐτοῦ δεομένοις. αἱ δὲ τριχίλιαι καθ' ἑαυτὰς οὐκ ἄν μοι δοκοῦσι τὴν Δημοσθένους ἀμβλῦναι πικρίαν, ἐλπίζοντος καὶ δυναμένου περιγενέσθαι.

Λαβὼν δὲ τῆς πολιτείας καλὴν ὑπόθεσιν, τὴν πρὸς Φίλιππον ὑπὲρ τῶν Ἑλλήνων δικαιολογίαν, καὶ πρὸς ταύτην ἀγωνιζόμενος ἀξίως, ταχὺ δόξαν ἔσχε, καὶ περίβλεπτος ὑπὸ τῶν λόγων ἤρθη καὶ τῆς παρρησίας· ὥστε θαυμάζεσθαι μὲν ἐν τῇ Ἑλλάδι, θεραπεύεσθαι δ' ὑπὸ τοῦ μεγάλου βασιλέως, πλεῖστον δ' αὐτοῦ λόγον εἶναι παρὰ τῷ Φιλίππῳ τῶν δημαγωγούντων· ὁμολογεῖν δὲ καὶ τοὺς ἀπεχθανομένους, ὅτι πρὸς ἔνδοξον αὐτοῖς ἄνθρωπον ὁ ἀγών ἐστι.

Ministerio de Educación, Cultura y Deporte

Καὶ γὰρ Αἰσχίνης καὶ Ὑπερείδης τοιαῦτα ὑπὲρ αὐτοῦ κατηγοροῦντες εἰρήκασιν. ὅθεν οὐκ οἶδ' ὅπως παρέστη Θεοπόμπῳ λέγειν αὐτὸν ἀβέβαιον τῷ τρόπῳ γεγονέναι, καὶ μήτε πράγμασι, μήτ' ἀνθρώποις πολὺν χρόνον τοῖς αὐτοῖς ἐπιμένειν δυνάμενον. φαίνεται γὰρ, εἰς ἣν ἀπ' ἀρχῆς τῶν πραγμάτων μερίδα καὶ τάξιν αὑτὸν ἐν τῇ πολιτείᾳ κατέστησε, ταύτην ἄχρι τέλους διαφυλάξας, καὶ οὐ μόνον ἐν τῷ βίῳ μὴ μεταβαλλόμενος, ἀλλὰ καὶ τὸν βίον ἐν τῷ μὴ μεταβαλέσθαι προέμενος.

Οὐ γὰρ, (ὡς Δημάδης ἀπολογούμενος περὶ τὴν ἐν τῇ πολιτείᾳ μεταβολὴν, ἔλεγεν αὑτῷ μὲν αὐτὸν τἀναντία πολλάκις εἰρηκέναι, τῇ δὲ πόλει μηδέποτε· καὶ Μελάνωπος ἀντιπολιτευόμενος Καλλιστράτῳ, καὶ πολλάκις ὑπ' αὐτοῦ χρήμασι μετατιθέμενος, εἰώθει λέγειν πρὸς τὸν δῆμον, Ὁ μὲν ἀνὴρ, ἐχθρὸς, τὸ δὲ τῆς πόλεως νικάτω συμφέρον· Νικόδημος δ' ὁ Μεσσήνιος Κασάνδρῳ προστιθέμενος πρότερον, εἶτ' αὖθις ὑπὲρ τοῦ Δημητρίου πολιτευόμενος, οὐκ ἔφη τἀναντία λέγειν· ἀεὶ γὰρ εἶναι συμφέρον ἀκροᾶσθαι τῶν κρατούντων) οὕτω καὶ περὶ Δημοσθένους ἔχομεν εἰπεῖν, οἷον ἐκτρεπομένου καὶ πλαγιάζοντος ἢ φωνὴν ἢ πρᾶξιν, ἀλλ' ὥσπερ ἐφ' ἑνὸς καὶ ἀμεταβλήτου διαγράμματος τῆς πολιτείας, ἕνα τόνον ἔχων ἐν τοῖς πράγμασιν ἀεὶ διετέλεσε.

Ministerio de Educación, Cultura y Deporte

Παναίτιος δ' ὁ φιλόσοφος καὶ τῶν λόγων αὐτοῦ φησιν οὕτω γεγράφθαι τοὺς πλείστους, ὡς μόνον τοῦ καλοῦ δι' αὐτὸ αἱρετοῦ ὄντος, τὸν περὶ τοῦ στεφάνου, τὸν κατὰ Ἀριστοκράτους, τὸν ὑπὲρ τῶν ἀτελειῶν, τοὺς Φιλιππικούς. ἐν οἷς πᾶσιν οὐ πρὸς τὸ ἥδιστον ἢ ῥᾷστον ἢ λυσιτελέστατον ἄγει τοὺς πολίτας, ἀλλὰ πολλαχοῦ τὴν ἀσφάλειαν καὶ τὴν σωτηρίαν οἴεται δεῖν ἐν δευτέρᾳ τάξει τοῦ καλοῦ ποιεῖσθαι καὶ τοῦ πρέποντος. ὡς, εἴγε περὶ τὰς ὑποθέσεις αὐτοῦ φιλοτιμίᾳ καὶ τῇ τῶν λόγων εὐγενείᾳ, παρῆν ἀνδρείᾳ τε πολεμιστήριος, καὶ τὸ καθαρῶς ἕκαστα πράττειν, οὐκ ἐν τῷ κατὰ Μυροκλέα καὶ Πολύευκτον καὶ Ὑπερίδην ἀριθμῷ τῶν ῥητόρων, ἀλλ' ἄνω μετὰ Κίμωνος καὶ Θουκυδίδου καὶ Περικλέους ἄξιος ἦν τίθεσθαι.

Τῶν γοῦν μετ' αὐτὸν ὁ Φωκίων, οὐκ ἐπαινουμένης προεστάμενος πολιτείας, ἀλλὰ δοκῶν μακεδονίζειν, ὅμως δι' ἀνδρείαν καὶ δικαιοσύνην οὐδὲν οὐδαμοῦ χείρων ἔδοξε τοῦ Ἐφιάλτου καὶ Ἀριστείδου καὶ Κίμωνος ἀνὴρ γενέσθαι. Δημοσθένης δ' οὐκ ὢν ἐν τοῖς ὅπλοις ἀξιόπιστος, ὥς φησιν ὁ Δημήτριος, οὐδὲ πρὸς τὸ λαμβάνειν παντάπασιν ἀποκεχρωμένος, ἀλλὰ τῷ μὲν παρὰ Φιλίππου καὶ Μακεδονίας ἀνάλωτος ὤν, τῷ δ' ἄνωθεν ἐκ Σούσων καὶ Ἐκβατάνων ἐπιβατὸς χρυσίῳ γεγονὼς καὶ κατα-

Ministerio de Educación, Cultura y Deporte

κεκλυσμένος, ἐπαινέσαι μὲν ἱκανώτατος ἦν τὰ τῶν προγόνων καλὰ, μιμήσασθαι δὲ οὐχ ὅμοιος.

Ἐπεὶ τούς γε καθ' αὑτὸν ῥήτορας (ἔξω δὲ λόγου τίθεμαι φωκίωνα) καὶ τῷ βίῳ παρῆλθε. φαίνεται δὲ καὶ μετὰ παρρησίας μάλιστα τῷ δήμῳ διαλεγόμενος, καὶ πρὸς τὰς ἐπιθυμίας τῶν πολλῶν ἀντιτείνων, καὶ τοῖς ἁμαρτήμασιν αὐτῶν ἐπιφυόμενος, ὡς ἐκ τῶν λόγων λαβεῖν ἐστίν.

Ἱστορεῖ δὲ καὶ Θεόπομπος ὅτι τῶν Ἀθηναίων ἐπί τινα προβαλλομένων αὐτὸν κατηγορίαν, ὡς οὐχ ὑπήκουε, θορυβούντων, ἀναστὰς εἶπεν· Ὑμεῖς ἐμοὶ, ὦ ἄνδρες Ἀθηναῖοι, συμβούλῳ μὲν, κἂν μὴ θέλητε, χρήσεσθε· συκοφάντῃ δὲ, οὐδὲ ἐὰν θέλητε.

Σφόδρα δ' ἀριστοκρατικὸν αὐτοῦ πολίτευμα καὶ τὸ περὶ Ἀντιφῶντος· ὃν ὑπὸ τῆς ἐκκλησίας ἀφεθέντα συλλαβὼν, ἐπὶ τὴν ἐξ Ἀρείου πάγου βουλὴν παρήγαγε, καὶ παρ' οὐδὲν τὸ προσκροῦσαι τῷ δήμῳ θέμενος, ἤλεγξεν ὑπεσχημένον φιλίππῳ τὰ νεώρια ἐμπρήσειν· καὶ παραδοθεὶς ὁ ἄνθρωπος ὑπὸ τῆς βουλῆς, ἀπέθανε.

Κατηγόρησε δὲ καὶ τῆς ἱερείας Θεωρίδος, ὡς ἄλλα ῥᾳδιουργούσης πολλὰ, καὶ τοὺς δούλους ἐξαπατᾶν διδασκούσης· καὶ θανάτου τιμησάμενος ἀπέκτεινε.

Ministerio de Educación, Cultura y Deporte

Λέγεται δὲ καὶ τὸν κατὰ Τιμοθέου τοῦ στρατηγοῦ λόγον, ᾧ χρησάμενος Ἀπολλόδωρος εἷλε τὸν ἄνδρα τοῦ ὀφλήματος, Δημοσθένης γράψαι τῷ Ἀπολλοδώρῳ, καθάπερ καὶ τοὺς πρὸς Φορμίωνα καὶ Στέφανον, ἐφ' οἷς εἰκότως ἠδόξησε. καὶ γὰρ Φορμίων ἠγωνίζετο λόγῳ Δημοσθένους πρὸς τὸν Ἀπολλόδωρον, ἀτεχνῶς, καθάπερ ἐξ ἑνὸς μαχαιροπωλίου, τὰ κατ' ἀλλήλων ἐγχειρίδια πωλοῦντος αὐτοῦ τοῖς ἀντιδίκοις.

Τῶν δὲ δημοσίων, ὁ μὲν κατ' Ἀνδροτίωνος καὶ Τιμοκράτους καὶ Ἀριστοκράτους, ἑτέροις ἐγράφησαν, οὔπω τῇ πολιτείᾳ προσεληλυθότος. δοκεῖ γὰρ δυοῖν ἢ τριῶν δέοντα ἔτη τριάκοντα γεγονὼς ἐξενεγκεῖν τοὺς λόγους ἐκείνους. τὸν δὲ κατ' Ἀριστογείτονος αὐτὸς ἠγωνίσατο, καὶ τὸν περὶ τῶν ἀτελειῶν, διὰ τὸν Χαβρίου παῖδα Κτήσιππον, ὥς φησιν αὐτός· ὡς δ' ἔνιοι λέγουσι, τὴν μητέρα τοῦ νεανίσκου μνώμενος. οὐ μὴν ἔγημε ταύτην, ἀλλὰ Σαμίᾳ τινὶ συνῴκησεν, ὡς ἱστορεῖ Δημήτριος ὁ Μάγνης ἐν τοῖς περὶ συνωνύμων.

Ὁ δὲ κατ' Αἰσχίνου τῆς παραπρεσβείας, ἄδηλον εἰ λέλεκται. καίτοι φησὶν Ἰδομενεὺς παρὰ τριάκοντα μόνας τὸν Αἰσχίνην ἀποφυγεῖν. ἀλλ' οὐκ ἔοικεν οὕτως ἔχειν τἀληθές, εἰ δεῖ τοῖς περὶ Στεφάνου γεγραμμένοις ἑκατέρων λόγοις τεκμαίρεσθαι. μέμνηται γὰρ

οὐδέτερος

οὐδέτερος αὐτῶν ἐναργῶς οὐδὲ τρανῶς ἐκείνου τοῦ ἀγῶνος, ὡς ἄχρι δίκης προελθόντος. ταυτὶ μὲν οὖν ἕτεροι διακρινοῦσι μᾶλλον.

Ἡ δὲ τοῦ Δημοσθένους πολιτεία φανερὰ μὲν ἦν ἔτι καὶ τῆς εἰρήνης ὑπαρχούσης, οὐδὲν ἐῶντος ἀνεπιτίμητον τῶν πραττομένων ὑπὸ τοῦ Μακεδόνος, ἀλλ' ἐφ' ἑκάστῳ ταράττοντος τοὺς Ἀθηναίους, καὶ διακαίοντος ἐπὶ τὸν ἄνθρωπον. διὸ καὶ παρὰ φιλίππου πλεῖστος ἦν λόγος αὐτοῦ, καὶ ὅτε πρεσβεύων, δέκατος ἧκεν εἰς Μακεδονίαν, ἤκουσε μὲν πάντων φίλιππος, ἀντεῖπε δὲ μετὰ πλείστης ἐπιμελείας πρὸς τὸν ἐκείνου λόγον.

Οὐ μὴν ἔν γε ταῖς ἄλλαις τιμαῖς καὶ φιλοφροσύναις ὅμοιον αὐτὸν τῷ Δημοσθένει παρεῖχεν, ἀλλὰ προσήγετο τοὺς περὶ Αἰσχίνην καὶ Φιλοκράτην μᾶλλον. ὅθεν ἐπαινούντων ἐκείνων τὸν φίλιππον ὡς καὶ λέγειν δυνατώτατον, καὶ κάλλιστον ὀφθῆναι, καὶ νὴ Δία συμπιεῖν ἱκανώτατον, ἠναγκάζετο βασκαίνων ἐπισκώπτειν, ὡς τὸ μὲν, σοφιστοῦ, τὸ δὲ, γυναικὸς, τὸ δὲ, σπογγιᾶς εἴη, βασιλέως δ' οὐδὲν ἐγκώμιον.

Ἐπεὶ δ' εἰς τὸ πολεμεῖν ἔρρεπε τὰ πράγματα, τοῦ μὲν φιλίππου μὴ δυναμένου τὴν ἡσυχίαν ἄγειν, τῶν δ' Ἀθηναίων ἐγειρομένων ὑπὸ τοῦ Δημοσθένους, πρῶτον μὲν εἰς Εὔβοιαν ἐξώρμησε

τοὺς Ἀθηναίους καταδεδουλωμένην ὑπὸ τῆς τυράννων Φιλίππῳ, καὶ διαβάντες, ἐκείνου τὸ ψήφισμα γράψαντος, ἐξήλασαν τοὺς Μακεδόνας. δεύτερον δὲ Βυζαντίοις ἐβοήθησε καὶ Περινθίοις ὑπὸ τοῦ Μακεδόνος πολεμουμένοις· πείσας τὸν δῆμον, ἀφέντα τὴν ἔχθραν, καὶ τὸ μεμνῆσθαι τῶν περὶ τὸν συμμαχικὸν ἡμαρτημένων ἑκατέροις πόλεμον, ἀποστεῖλαι δύναμιν αὐτοῖς, ὑφ' ἧς ἐσώθησαν.

Ἔπειτα πρεσβεύων καὶ διαλεγόμενος τοῖς Ἕλλησι, καὶ παροξύνων, συνέστησε, πλὴν ὀλίγων, ἅπαντας ἐπὶ τὸν Φίλιππον· ὥστε σύνταξιν γενέσθαι πεζῶν μὲν μυρίων καὶ πεντακισχιλίων, ἱππέων δὲ δισχιλίων, ἄνευ τῆς πολιτικῆς δυνάμεως· χρήματα δὲ καὶ μισθοὺς τοῖς ξένοις εἰσφέρεσθαι προθύμως. ὅτε καί φησι Θεόφραστος, ἀξιούντων τῶν συμμάχων ὁρισθῆναι τὰς εἰσφορὰς, εἰπεῖν Κρωβύλον τὸν δημαγωγὸν, ὡς οὐ τεταγμένα σιτεῖται πόλεμος.

Ἐπηρμένης δὲ τῆς Ἑλλάδος πρὸς τὸ μέλλον, καὶ συνισταμένων κατ' ἔθνη καὶ πόλεις Εὐβοέων, Ἀχαιῶν, Κορινθίων, Μεγαρέων, Λευκαδίων, Κερκυραίων, ὁ μέγιστος ὑπελείπετο τῷ Δημοσθένει τῶν ἀγώνων, Θηβαίους προσαγαγέσθαι τῇ συμμαχίᾳ, χώραν τε σύνορον τῆς Ἀττικῆς, καὶ δύναμιν ἐναγώνιον ἔχοντας, καὶ μάλιστα τότε τῶν Ἑλλήνων εὐδοκιμοῦντας ἐν τοῖς ὅπλοις.

Ministerio de Educación, Cultura y Deporte

Ἦν δ' οὐ ῥᾴδιον, ἐπὶ προσφάτοις εὐεργετήμασι τοῖς περὶ τὸν φωκικὸν πόλεμον τετιθασευμένους ὑπὸ τοῦ Φιλίππου μεταστῆσαι τοὺς Θηβαίους, καὶ μάλιστα ταῖς διὰ τὴν γειτνίασιν ἀψιμαχίαις ἀναξαινομένων ἑκάστοτε τῶν πολεμικῶν πρὸς ἀλλήλας διαφορῶν ταῖς πόλεσιν. οὐ μὴν ἀλλ' ἐπεὶ Φίλιππος ὑπὸ τῆς περὶ τὴν Ἄμφισσαν εὐτυχίας ἐπαιρόμενος, εἰς τὴν Ἐλάτειαν ἐξαίφνης ἐνέπεσε, καὶ τὴν Φωκίδα κατεῖχεν, ἐκπεπληγμένων τῶν Ἀθηναίων, καὶ μηδενὸς τολμῶντος ἀναβαίνειν ἐπὶ τὸ βῆμα μηδὲ ἔχοντος ὅ, τι χρὴ λέγειν, ἀπορίας οὔσης ἐν μέσῳ καὶ σιωπῆς, παρελθὼν μόνος ὁ Δημοσθένης, συνεβούλευε τῶν Θηβαίων ἔχεσθαι· καὶ τἄλλα παραθαρρύνας καὶ μετεωρίσας (ὥσπερ εἰώθει) τὸν δῆμον ταῖς ἐλπίσιν, ἀπεστάλη πρεσβευτὴς μεθ' ἑτέρων εἰς Θήβας· ἔπεμψε δὲ καὶ Φίλιππος (ὥς Μαρσύας φησὶν) Ἀμύνταν μὲν καὶ Κλέαρχον Μακεδόνας, Δάοχον δὲ καὶ Θεσσαλὸν καὶ Θρασυδαῖον, ἀντεροῦντας.

Τὸ μὲν οὖν συμφέρον οὐ διέφυγε τοὺς τῶν Θηβαίων λογισμοὺς, ἀλλ' ἐν ὄμμασιν ἕκαστος εἶχε τὰ τοῦ πολέμου δεινὰ, ἔτι τῶν φωκικῶν τραυμάτων νεαρῶν παραμενόντων. ἡ δὲ τοῦ ῥήτορος δύναμις (ὥς φησι Θεόπομπος) ἐκριπίζουσα τὸν θυμὸν αὐτῶν, καὶ διακαίουσα τὴν φιλοτιμίαν, ἐπεσκό-



Ministerio de Educación, Cultura y Deporte

τησε τοῖς ἄλλοις ἅπασιν· ὥστε φόβον καὶ λογισμὸν καὶ χάριν ἐκβαλεῖν αὐτοὺς, ἐνθουσιῶντας ὑπὸ τοῦ λόγου πρὸς τὸ καλόν.

Οὕτω δὲ μέγα καὶ λαμπρὸν ἐφάνη τὸ τοῦ ῥήτορος ἔργον, ὥστε τὸν μὲν Φίλιππον εὐθὺς ἐπικηρυκεύεσθαι, δεόμενον εἰρήνης, ὀρθὴν δὲ τὴν Ἑλλάδα γενέσθαι, καὶ συνεξαναστῆναι πρὸς τὸ μέλλον, ὑπηρετεῖν δὲ μὴ μόνον τοὺς στρατηγοὺς τῷ Δημοσθένει ποιοῦντας τὸ προσταττόμενον, ἀλλὰ καὶ τοὺς Βοιωτάρχας· διοικεῖσθαί τε τὰς ἐκκλησίας ἁπάσας, οὐδὲν ἧττον ὑπ' ἐκείνου τότε τὰς Θηβαίων ἢ τὰς Ἀθηναίων, ἀγαπωμένου παρ' ἀμφοτέροις καὶ δυναστεύοντος, οὐκ ἀδίκως, οὐδὲ παρ' ἀξίαν, ὥσπερ ἀποφαίνεται Θεόπομπος, ἀλλὰ καὶ πάνυ προσηκόντως.

Τύχη δέ τις ἔοικε δαιμόνιος ἐν περιφορᾷ πραγμάτων, εἰς ἐκεῖνο καιροῦ συμπεραίνουσα τὴν ἐλευθερίαν τῆς Ἑλλάδος, ἐναντιοῦσθαι τοῖς πραττομένοις, καὶ πολλὰ σημεῖα τοῦ μέλλοντος ἀναφαίνειν, ἐν οἷς ἥ τε Πυθία δεινὰ προὔφαινε μαντεύματα, καὶ χρησμὸς ᾔδετο παλαιὸς ἐκ τῶν Σιβυλλείων.

Τῆς ἐπὶ Θερμώδοντι μάχης ἀπάνευθε γενοίμην,
Αἰετὸς ἐν νεφέεσσι καὶ ἠέρι θηήσασθαι.

Κλαίει ὁ νικηθεὶς, ὁ δὲ νικήσας ἀπόλωλε. Τὸν

Ministerio de Educación, Cultura y Deporte

δὲ Θερμώδοντά φασιν εἶναι παρ' ἡμῖν ἐν Χαιρωνείᾳ, ποτάμιον μικρὸν εἰς τὸν Κηφισὸν ἐμβάλλον· ἡμεῖς δὲ νῦν μὲν οὐδὲν ἴσμεν οὕτω τῶν ῥευμάτων ὀνομαζόμενον, εἰκάζομεν δὲ τὸν καλούμενον Αἵμονα, Θερμώδοντα λέγεσθαι τότε. καὶ παραῤῥεῖ παρὰ τὸ Ἡράκλειον, ὅπου κατεστρατοπέδευον οἱ Ἕλληνες. καὶ τεκμαιρόμεθα, τῆς μάχης γενομένης, αἵματος ἐμπλησθέντα καὶ νεκρῶν τὸν ποταμὸν, ταυτηὶ διαλλάξαι τὴν προσηγορίαν.

Ὁ δὲ Δοῦρις οὐ ποταμὸν εἶναί φησι τὸν Θερμώδοντα, ἀλλ' ἱστάντας τινὰς σκηνὴν καὶ περιορύττοντας, ἀνδριαντίσκον εὑρεῖν λίθινον ὑπὸ γραμμάτων τινῶν διασημαινόμενον, ὡς εἴη Θερμώδων, ἐν ταῖς ἀγκάλαις Ἀμαζόνα φέρων τετρωμένην. ἐπὶ τούτῳ χρησμὸν ἄλλον ᾄδεσθαι, λέγοντα.

Τὴν ἐπὶ Θερμώδοντι μάχην μένε παμμέλαν ὄρνι.

Τηνεί τοι κρέα πολλὰ παρέσσεται ἀνθρώποισι.

ταῦτα μὲν οὖν ὅπως ἔχει διαιτῆσαι χαλεπόν. ὁ δὲ Δημοσθένης λέγεται τοῖς τῶν Ἑλλήνων ὅπλοις ἐκτεθαῤῥηκὼς, καὶ λαμπρῶς ὑπὸ ῥώμης καὶ προθυμίας ἀνδρῶν τοσούτων προκαλουμένων τοὺς πολεμίους, αἰρόμενος, οὔτε χρησμοῖς ἐᾷν προσέχειν, οὔτε μαντείας ἀκούειν· ἀλλὰ καὶ τὴν Πυθίαν ὑπονοεῖν ὡς φιλιππίζουσαν, ἀναμιμνήσ-



Ministerio de Educación, Cultura y Deporte

κῶν Ἐπαμινώνδου τοὺς Θηβαίους, καὶ Περικλέους τοὺς Ἀθηναίους, ὡς ἐκεῖνοι τὰ τοιαῦτα δειλίας ἡγούμενοι προφάσεις, ἐχρῶντο τοῖς λογισμοῖς.

Μέχρι μὲν οὖν τούτων ἀνὴρ ἦν ἀγαθός· ἐν δὲ τῇ μάχῃ καλὸν οὐδὲν οὐδ' ὁμολογούμενον ἔργον οἷς εἶπεν ἀποδειξάμενος, ᾤχετο τὴν τάξιν ἀποδρὰς αἴσχιστα, καὶ τὰ ὅπλα ῥίψας, οὐδὲ τὴν ἐπιγραφὴν τῆς ἀσπίδος (ὡς ἔλεγε Πυθέας) αἰσχυνθείς, ἐπιγεγραμμένης γράμμασι χρυσοῖς, Ἀγαθῇ τύχῃ. παραυτίκα μὲν οὖν ὁ Φίλιππος ἐπὶ τῇ νίκῃ διὰ τὴν χαρὰν ἐξυβρίσας, καὶ κωμάσας ἐπὶ τοὺς νεκροὺς μεθύων, ᾖδε τὴν ἀρχὴν τοῦ Δημοσθένους ψηφίσματος, πρὸς πόδα διαιρῶν καὶ ὑποκρούων, Δημοσθένης Δημοσθένους Παιανιεὺς τάδ' εἶπεν. ἐκνήψας δὲ καὶ τὸ μέγεθος τοῦ περιστάντος αὐτὸν ἀγῶνος ἐν νῷ λαβών, ἔφριττε τὴν δεινότητα καὶ τὴν δύναμιν τοῦ ῥήτορος, ἐν μέρει μικρῷ μιᾶς ἡμέρας τὸ ὑπὲρ τῆς ἡγεμονίας καὶ τοῦ σώματος ἀναρρῖψαι κίνδυνον ἀναγκασθεὶς ὑπ' αὐτοῦ.

Διῖκτο δ' ἡ δόξα μέχρι τοῦ Περσῶν βασιλέως. κἀκεῖνος ἔπεμψε τοῖς σατράπαις γράμματα χρήματα Δημοσθένει διδόναι κελεύων, καὶ προσέχειν ἐκείνῳ μάλιστα τῶν Ἑλλήνων, ὡς περισπάσαι δυναμένῳ καὶ κατασχεῖν ταῖς Ἑλληνικαῖς

παραχαῖς τὸν Μακεδόνα. ταῦτα μὲν οὖν ὕστερον ἐφώρασεν Ἀλέξανδρος, ἐν Σάρδεσιν ἐπιστολάς τινας ἀνευρὼν τοῦ Δημοσθένους, καὶ γράμματα τῶν βασιλέως στρατηγῶν, δηλοῦντα τὸ πλῆθος τῶν δοθέντων αὐτῷ χρημάτων.

Τότε δὲ τῆς ἀτυχίας τοῖς Ἕλλησι γενομένης, οἱ μὲν ἀντιπολιτευόμενοι ῥήτορες, ἐπεμβαίνοντες τῷ Δημοσθένει, κατεσκεύαζον εὐθύνας καὶ γραφὰς ἐπ' αὐτόν· ὁ δὲ δῆμος οὐ μόνον τούτων ἀπέλυεν, ἀλλὰ καὶ τιμῶν διετέλει, καὶ προσκαλούμενος αὖθις ὡς εὔνουν εἰς τὴν πολιτείαν, ὥστε καὶ τῶν ὀστέων ἐκ Χαιρωνείας κομισθέντων, καὶ θαπτομένων, τὸν ἐπὶ τοῖς ἀνδράσιν ἔπαινον εἰπεῖν ἀπέδωκεν, οὐ ταπεινῶς οὐδ' ἀγεννῶς φέρων τὸ συμβεβηκός, (ὡς γράφει καὶ τραγῳδεῖ Θεόπομπος) ἀλλὰ τῷ τιμᾶν μάλιστα καὶ κοσμεῖν τὸν σύμβουλον, ἀποδεικνύμενος τὸ μὴ μεταμέλεσθαι τοῖς βεβουλευμένοις.

Τὸν μὲν οὖν λόγον εἶπεν ὁ Δημοσθένης, τοῖς δὲ ψηφίσμασιν οὐχ ἑαυτὸν, ἀλλὰ ἐν μέρει τῶν φίλων ἕκαστον ἐπέγραφεν, ἐξοιωνιζόμενος τὸν ἴδιον δαίμονα καὶ τὴν τύχην, ἕως αὖθις ἀνεθάρρησε, Φιλίππου τελευτήσαντος· ἐτελεύτησε δὲ τῇ περὶ Χαιρώνειαν εὐτυχίᾳ χρόνον οὐ πολὺν ἐπιβιώσας· καὶ τοῦτο δοκεῖ τῷ τελευταίῳ τῶν ἐπῶν ὁ χρησ-

μὸς ἀποθεσπίσαι, Κλαίει ὁ νικηθεὶς, ὁ δὲ νικήσας ἀπολώλεν.

Ἔγνω μὲν οὖν κρύφα τὴν τοῦ Φιλίππου τελευτὴν ὁ Δημοσθένης. προκαταλαμβάνων δὲ τὸ θαῤῥεῖν ἐπὶ τὰ μέλλοντα τοὺς Ἀθηναίους, προῆλθε φαιδρὸς εἰς τὴν βουλὴν, ὡς ὄναρ ἑωρακὼς ἀφ᾽ οὗ τι μέγα προσδοκᾶν Ἀθηναίοις ἀγαθόν· καὶ μετ᾽ οὐ πολὺ παρῆσαν οἱ τὸν Φιλίππου θάνατον ἀπαγγέλλοντες. εὐθὺς οὖν ἔθυον εὐαγγέλια, καὶ στεφανοῦν ἐψηφίσαντο Παυσανίαν. καὶ προῆλθεν ὁ Δημοσθένης ἔχων λαμπρὸν ἱμάτιον ἐστεφανωμένος, ἑβδόμην ἡμέραν τῆς θυγατρὸς αὐτοῦ τεθνηκυίας, ὡς Αἰσχίνης φησὶ, λοιδορῶν ἐπὶ τούτῳ, καὶ κατηγορῶν αὐτοῦ μισοτεκνίαν, αὐτὸς ὢν ἀγεννὴς καὶ μαλακὸς, εἰ τὰ πένθη καὶ τοὺς ὀδυρμοὺς ἡμέρου καὶ φιλοστόργου ψυχῆς ἐποιεῖτο σημεῖα, τὸ δ᾽ ἀλύπως φέρειν ταῦτα καὶ πρᾴως, ἀπεδοκίμαζεν.

Ἐγὼ δὲ, ὡς μὲν ἐπὶ θανάτῳ βασιλέως ἡμέρως οὕτω καὶ φιλανθρώπως ἐν οἷς ηὐτύχησε χρησαμένου πταίσασιν αὐτοῖς, στεφανηφορεῖν καλῶς, εἰ δὲ καὶ θύειν, οὐκ ἂν εἴποιμι· (πρὸς γὰρ τῷ νεμεσητῷ καὶ ἀγεννὲς, ζῶντα μὲν τιμᾶν καὶ ποιεῖσθαι πολίτην, πεσόντος δ᾽ ὑφ᾽ ἑτέρου, μὴ φέρειν τὴν χαρὰν μετρίως, ἀλλ᾽ ἐπισκιρτᾶν τῷ νεκρῷ καὶ παιω-

Ministerio de Educación, Cultura y Deporte

νίζειν, ὥσπερ αὐτοὺς ἀνδραγαθήσαντας) ὅτι μέντοι τὰς οἴκοι τύχας καὶ δάκρυα καὶ ὀδυρμοὺς ὑπολιπὼν ταῖς γυναιξὶν ὁ Δημοσθένης, ἃ τῇ πόλει συμφέρειν ᾤετο, ταῦτ' ἔπραττεν, ἐπαινῶ, καὶ τίθεμαι πολιτικῆς καὶ ἀνδρώδους ψυχῆς, ἀεὶ πρὸς τὸ κοινὸν ἱστάμενον καὶ τὰ οἰκεῖα πάθη καὶ πράγματα τοῖς δημοσίοις ἐπανέχοντα, τηρεῖν τὸ ἀξίωμα πολὺ μᾶλλον ἢ τοὺς ὑποκριτὰς τῶν βασιλικῶν καὶ τυραννικῶν προσώπων· οὓς ὁρῶμεν οὔτε κλαίοντας οὔτε γελῶντας ἐν τοῖς θεάτροις ὡς αὐτοὶ θέλουσιν, ἀλλ' ὡς ὁ ἀγὼν ἀπαιτεῖ πρὸς τὴν ὑπόθεσιν.

Χωρὶς δὲ τούτων, εἰ δεῖ τὸν ἀτυχήσαντα μὴ περιορᾶν ἀπαρηγόρητον ἐν τῷ πάθει κείμενον, ἀλλὰ καὶ λόγοις χρῆσθαι κουφίζουσι, καὶ πρὸς ἡδίω πράγματα τρέπειν τὴν διάνοιαν, (ὥσπερεὶ τοὺς ὀφθαλμιῶντας, ἀπὸ τῶν λαμπρῶν καὶ ἀντιτύπων ἐπὶ τὰ χλωρὰ καὶ μαλακὰ χρώματα τὴν ὄψιν ἀπάγειν κελεύοντας) πόθεν ἄν τις ἀπαγάγοιτο βελτίω παρηγορίαν, ἢ πατρίδος ἀτυχούσης, ἐκ τῶν κοινῶν παθῶν ἐπὶ τὰ οἰκεῖα σύγκρασιν ποριζόμενος τοῖς βελτίοσιν ἀφανίζουσαν τὰ χείρω; ταῦτα μὲν οὖν εἰπεῖν προήχθημεν, ὁρῶντες ἐπικλῶντα πολλοὺς καὶ ἀποθηλύνοντα τὸν Αἰσχίνην τῷ λόγῳ τούτῳ πρὸς οἶκτον.

Ministerio de Educación, Cultura y Deporte

Αἱ δὲ πόλεις, πάλιν τοῦ Δημοσθένους ἀναρριπίζοντος αὐτὰς, συνίσταντο. καὶ Θηβαῖοι μὲν ἐπέθεντο τῇ φρουρᾷ, καὶ πολλοὺς ἀνεῖλον, ὅπλα τοῦ Δημοσθένους αὐτοῖς παρασκευάσαντος· Ἀθηναῖοι δ' ὡς πολεμήσοντες μετ' αὐτῶν παρεσκευάζοντο· καὶ τὸ βῆμα κατεῖχεν ὁ Δημοσθένης, καὶ πρὸς τοὺς ἐν Ἀσίᾳ στρατηγοὺς τοῦ βασιλέως ἔγραφε τὸν ἐκεῖθεν ἐπεγείρων πόλεμον Ἀλεξάνδρῳ, παῖδα καὶ μαργίτην ἀποκαλῶν αὐτόν.

Ἐπεὶ μέντοι τὰ περὶ τὴν χώραν θέμενος παρῆν αὐτὸς μετὰ τῆς δυνάμεως εἰς τὴν Βοιωτίαν, ἐξεκέκοπτο μὲν ἡ θρασύτης τῶν Ἀθηναίων, καὶ ὁ Δημοσθένης ἀπεσβήκει· Θηβαῖοι δὲ προδοθέντες ὑπ' ἐκείνων, ἠγωνίσαντο καθ' αὑτοὺς, καὶ τὴν πόλιν ἀπέβαλον. θορύβου δὲ μεγάλου τοὺς Ἀθηναίους περιεστῶτος, ἀπεστάλη μὲν ὁ Δημοσθένης· αἱρεθεὶς δὲ μεθ' ἑτέρων πρεσβευτὴς πρὸς Ἀλέξανδρον, δείσας δὲ τὴν ὀργὴν, ἐκ τοῦ Κιθαιρῶνος ἀνεχώρησεν ὀπίσω, καὶ τὴν πρεσβείαν ἀφῆκεν.

Εὐθὺς δ' ὁ Ἀλέξανδρος ἐζήτει πέμπων τῶν δημαγωγῶν δέκα μὲν, ὡς Ἰδομενεὺς καὶ Δοῦρις εἰρήκασιν· ὀκτὼ δ', ὡς οἱ πλεῖστοι καὶ δοκιμώτατοι τῶν συγγραφέων, τούσδε, Δημοσθένη, Πολύευκτον, Ἐφιάλτην, Λυκοῦργον, Μυροκλέα, Δάμωνα, Καλλισθένη, Χαρίδημον. ὅτε καὶ τὸν περὶ

τὸν περὶ προβάτων λόγον ὁ Δημοσθένης, ὃς τοῖς λύκοις τοὺς κύνας ἐξέδωκε, διηγησάμενος, αὐτὸν μὲν εἴκασε καὶ τοὺς σὺν αὐτῷ, κυσὶν ὑπὲρ τοῦ δήμου μαχομένοις, Ἀλέξανδρον δὲ τὸν Μακεδόνα, μονόλυκον προσηγόρευσεν. Ἔτι δ᾽ ὥς (ἔφη) τοὺς ἐμπόρους ὁρῶμεν, ὅταν ἐν τρυβλίῳ δεῖγμα περιφέρωσι, δι᾽ ὀλίγων πυρῶν τοὺς πολλοὺς πιπράσκοντας, οὕτως ἐν ἡμῖν λανθάνετε πάντας αὐτοὺς συνεκδιδόντες.

Ταῦτα μὲν οὖν Ἀριστόβουλος ὁ Κασανδρεὺς ἱστόρηκε· βουλευομένων δὲ τῶν Ἀθηναίων καὶ διαπορούντων, ὁ Δημάδης λαβὼν πέντε τάλαντα παρὰ τῶν ἀνδρῶν, ὡμολόγησε πρεσβεύσειν καὶ δεήσεσθαι τοῦ βασιλέως ὑπὲρ αὐτῶν· εἴτε τῇ φιλίᾳ πιστεύων, εἴτε προσδοκῶν μεστὸν εὑρήσειν, ὥσπερ λέοντα, φόνου κεκορεσμένον. ἔπεισε δ᾽ οὖν καὶ παρῃτήσατο τοὺς ἄνδρας ὁ Δημάδης, καὶ διήλλαξεν αὐτῷ τὴν πόλιν.

Ἀπελθόντος δὲ Ἀλεξάνδρου, μεγάλοι μὲν ἦσαν οὗτοι· ταπεινὰ δ᾽ ἔπραττεν ὁ Δημοσθένης. κινουμένῳ δὲ Ἄγιδι τῷ Σπαρτιάτῃ βραχέα συνεκινήθη πάλιν, εἶτ᾽ ἔπτηξε, τῶν μὲν Ἀθηναίων οὐ συνεξαναστάντων, τοῦ δ᾽ Ἄγιδος πεσόντος, καὶ τῶν Λακεδαιμονίων συντριβέντων. εἰσήχθη δὲ τότε καὶ ἡ περὶ τοῦ στεφάνου γραφὴ κατὰ Κτησιφῶντος, γραφεῖσα μὲν ἐπὶ Χαιρώνδου ἄρχοντος, μικρὸν ἐπάνω

τῶν Χαιρωνικῶν, κριθεῖσα δ' ὕστερον ἔτεσι δέκα ἐπ' Ἀριστοφῶντος, γενομένη δέ, ὡς οὐδεμία τῶν δημοσίων, περιβόητος, διά τε τὴν δόξαν τῶν λεγόντων, καὶ τὴν τῶν δικαζόντων εὐγένειαν· οἱ τοῖς ἐλαύνουσι τὸν Δημοσθένη, τότε πλεῖστον δυναμένοις καὶ μακεδονίζουσι, οὐ προήκαντο τὴν κατ' αὐτοῦ ψῆφον, ἀλλ' οὕτω λαμπρῶς ἀπέλυσαν, ὥστε τὸ πέμπτον μέρος τῶν ψήφων Αἰσχίνην μὴ μεταλαβεῖν. ἐκεῖνος μὲν οὖν εὐθὺς ἐκ τῆς πόλεως ᾤχετ' ἀπιών, καὶ περὶ Ῥόδον Ἰωνίαν τε σοφιστεύων κατεβίωσε.

Μετ' οὐ πολὺ δὲ Ἅρπαλος ἧκεν ἐξ Ἀσίας εἰς τὰς Ἀθήνας, ἀποδρὰς Ἀλέξανδρον, αὐτῷ τε πράγματα συνειδὼς πονηρὰ δι' ἀσωτίαν, κἀκεῖνον ἤδη χαλεπὸν ὄντα τοῖς φίλοις δεδιώς. καταφυγόντος δὲ πρὸς τὸν δῆμον αὐτοῦ, καὶ μετὰ τῶν χρημάτων καὶ τῶν νεῶν αὐτὸν παραδιδόντος, οἱ μὲν ἄλλοι ῥήτορες εὐθὺς ἐποφθαλμιάσαντες πρὸς τὸν πλοῦτον, ἐβοήθουν, καὶ συνέπειθον τοὺς Ἀθηναίους δέχεσθαι καὶ σώζειν τὸν ἱκέτην. ὁ δὲ Δημοσθένης πρῶτον μὲν ἀπελαύνειν συνεβούλευε τὸν Ἅρπαλον, καὶ φυλάττεσθαι μὴ τὴν πόλιν ἐμβάλωσιν εἰς πόλεμον; ἐξ οὐκ ἀναγκαίας καὶ ἀδίκου προφάσεως.

Ἡμέραις δ' ὀλίγαις ὕστερον ἐξεταζομένων τῶν χρημάτων, ἰδὼν αὐτὸν ὁ Ἅρπαλος ἡσθέντα βασιλικῇ κύλικι, καὶ καταμανθάνοντα τὴν τορείαν καὶ

Ministerio de Educación, Cultura y Deporte

τὸ εἶδος, ἐκέλευε διαβαστάσαντα, τὴν ὁλκὴν τοῦ χρυσίου σκέψασθαι. θαυμάσαντος δὲ τοῦ Δημοσθένους τὸ βάρος, καὶ πυθομένου πόσον ἄγει, μειδιάσας ὁ Ἅρπαλος, Ἄξει σοι (φησὶν) εἴκοσι τάλαντα· καὶ γενομένης τάχιστα τῆς νυκτὸς, ἔπεμψεν αὐτῷ τὴν κύλικα, μετὰ τῶν εἴκοσι ταλάντων. ἦν δ' ἄρα δεινὸς ὁ Ἅρπαλος ἐρωτικοῦ πρὸς χρυσίον ἀνδρὸς ὄψιν, καὶ διαχύσει καὶ βολαῖς ὀμμάτων ἀνευρεῖν ἦθος. οὐ γὰρ ἀντέσχεν ὁ Δημοσθένης, ἀλλὰ πληγεὶς ὑπὸ τῆς δωροδοκίας, ὥσπερ παραδεδεγμένος φρουρὰν, προσκεχωρήκει τῷ Ἁρπάλῳ.

Καὶ μεθ' ἡμέραν εὖ καὶ καλῶς ἐρίοις καὶ ταινίαις κατὰ τοῦ τραχήλου καθελιξάμενος, εἰς τὴν ἐκκλησίαν προῆλθε. καὶ κελευόντων ἀνίστασθαι καὶ λέγειν, διένευεν ὡς ἀποκεκομμένης αὐτῷ τῆς φωνῆς. οἱ δ' εὐφυεῖς χλευάζοντες, οὐχ ὑπὸ συνάγχης ἔφραζον, ἀλλ' ἀπ' ἀργυράγχης εἰλῆφθαι νύκτωρ τὸν δημαγωγόν. ὕστερον δὲ τοῦ δήμου παντὸς αἰσθομένου τὴν δωροδοκίαν, καὶ βουλομένου ἀπολογεῖσθαι καὶ πείθειν, οὐκ ἐῶντος, ἀλλὰ χαλεπαίνοντος καὶ θορυβοῦντος, ἀναστάς τις ἔσκωψεν, εἰπὼν, Οὐκ ἀκούσεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦ τὴν κύλικα ἔχοντος.

Τότε μὲν οὖν ἀπέπεμψαν ἐκ τῆς πόλεως τὸν Ἅρπαλον· δεδιότες δὲ μὴ λόγον ἀπαιτῶνται χρημάτων ὧν διηρπάκεσαν οἱ ῥήτορες, ζήτησιν ἐποιοῦντο

νεανικὴν, καὶ τὰς οἰκίας ἐπιόντες ἠρεύνων, πλὴν τῆς Καλλικλέους τοῦ Ἀῤῥενίδου. μόνην γὰρ τὴν τούτου νεωστὶ γεγαμηκότος, οὐκ εἴασαν ἐλεγχθῆναι, νύμφης ἔνδον οὔσης, ὡς ἱστορεῖ Θεόπομπος. ὁ δὲ Δημοσθένης ὁμόσε χωρῶν, εἰσήνεγκε ψήφισμα, τὴν ἐξ Ἀρείου πάγου βουλὴν ἐξετάσαι τὸ πρᾶγμα, καὶ τοὺς ἐκείνῃ δόξαντας ἀδικεῖν, δοῦναι δίκην. ἐν δὲ πρώτοις αὐτοῦ τῆς βουλῆς ἐκείνου καταψηφισαμένης, εἰσῆλθε μὲν εἰς τὸ δικαστήριον, ὄφλων δὲ πεντήκοντα ταλάντων δίκην, καὶ παραδοθεὶς εἰς τὸ δεσμωτήριον, αἰσχύνῃ τῆς αἰτίας, φασὶ, καὶ δι' ἀσθένειαν τοῦ σώματος, οὐ δυνάμενος φέρειν τὸν εἱργμὸν, ἀποδρᾶναι, τοὺς μὲν λαθόντα, τῶν δὲ λαθεῖν ἐξουσίαν δόντων.

Λέγεται γοῦν ὡς οὐ μακρὰν τοῦ ἄστεος φεύγων, αἴσθοιτό τινας τῶν διαφόρων αὐτῷ πολιτῶν ἐπιδιώκοντας, καὶ βούλοιτο μὲν αὑτὸν ἀποκρύπτειν· ὡς δ' ἐκεῖνοι φθεγξάμενοι τοὔνομα, καὶ προσελθόντες ἐγγὺς, ἐδέοντο λαβεῖν ἐφόδια παρ' αὐτῶν, ἐπ' αὐτὸ τοῦτο κομίζοντες ἀργύριον οἴκοθεν, καὶ τούτου χάριν ἐπιδιώξαντες αὐτῷ, ἅμα δὲ θαῤῥεῖν παρεκάλουν, καὶ μὴ φέρειν ἀνιαρῶς τὸ συμβεβηκός· ἔτι μᾶλλον ἀνακλαύσασθαι τὸν Δημοσθένη, καὶ εἰπεῖν, Πῶς δ' οὐ μέλλω φέρειν βαρέως, ἀπολιπὼν πόλιν ἐχθροὺς τοιούτους ἔχουσαν, οἵους ἐν ἑτέρᾳ φίλους

εὑρεῖν οὐ ῥᾴδιόν ἐστιν; ἤνεγκε δὲ τὴν φυγὴν μαλακῶς, ἐν Αἰγίνῃ καὶ Τροιζῆνι καθεζόμενος τὰ πολλά. καὶ πρὸς τὴν Ἀττικὴν ἀποβλέπων δεδακρυμένος, ὥστε φωνὰς οὐκ εὐγνώμονας οὐδ' ὁμολογούσας τοῖς ἐν τῇ πολιτείᾳ νεανιεύμασιν ἀπομνημονεύεσθαι. λέγεται γάρ, ἐκ τοῦ ἄστεος ἀπαλλαττόμενος, καὶ πρὸς τὴν ἀκρόπολιν ἀνατείνας τὰς χεῖρας, εἰπεῖν, Ὦ δέσποινα πολιάς, τί δὴ τρισὶ τοῖς χαλεπωτάτοις χαίρεις θηρίοις; γλαυκὶ καὶ δράκοντι καὶ δήμῳ; τοὺς δὲ προσιόντας αὐτῷ καὶ συνδιατρίβοντας νεανίσκους ἀπέτρεπε τῆς πολιτείας, λέγων, ὡς εἰ δυοῖν προκειμένων ὁδῶν ἀπ' ἀρχῆς, τῆς μὲν ἐπὶ τὸ βῆμα καὶ τὴν ἐκκλησίαν, τῆς δ' ἄντικρυς εἰς τὸν ὄλεθρον, ἐτύγχανε δὲ προειδὼς τὰ κατὰ τὴν πολιτείαν κακά, φόβους καὶ φθόνους, καὶ διαβολάς, καὶ ἀγῶνας, ἐπὶ ταύτην ἂν ὁρμῆσαι τὴν εὐθὺ τοῦ θανάτου τείνουσαν.

Ἀλλὰ γὰρ ἔτι φεύγοντος αὐτοῦ τὴν εἰρημένην φυγήν, Ἀλέξανδρος μὲν ἐτελεύτησε, τὰ δ' Ἑλληνικὰ συνίσταντο πάλιν, Λεοσθένους ἀνδραγαθοῦντος, καὶ περιτειχίζοντος Ἀντίπατρον ἐν Λαμίᾳ πολιορκούμενον. Πυθέας μὲν οὖν ὁ ῥήτωρ καὶ Καλλιμέδων ὁ Κάραβος, ἐξ Ἀθηνῶν φεύγοντες, Ἀντιπάτρῳ προσεγένοντο, καὶ μετὰ τῶν ἐκείνου φίλων καὶ πρέσβεων, περιιόντες οὐκ εἴων ἀφίστασθαι τοὺς Ἕλληνας,

Ministerio de Educación, Cultura y Deporte

οὐδὲ προσέχειν τοῖς Ἀθηναίοις· Δημοσθένης δὲ τοῖς ἐξ ἄστεος πρεσβεύουσι προσμίξας ἑαυτὸν, ἠγωνίζετο καὶ συνέπραττεν ὅπως αἱ πόλεις συνεπιθήσονται τοῖς Μακεδόσι, καὶ συνεκβαλοῦσιν αὐτοὺς τῆς Ἑλλάδος.

Ἐν δ' Ἀρκαδίᾳ καὶ λοιδορίαν τοῦ Πυθέου καὶ τοῦ Δημοσθένους γενέσθαι πρὸς ἀλλήλους, εἴρηκεν ὁ φύλαρχος, ἐν ἐκκλησίᾳ τοῦ μὲν ὑπὲρ τῶν Μακεδόνων, τοῦ δ' ὑπὲρ τῶν Ἑλλήνων λέγοντος. λέγεται δὲ τὸν μὲν Πυθέαν εἰπεῖν ὅτι καθάπερ οἰκίαν εἰς ἣν ὄνειον εἰσφέρεται γάλα, κακόν τι πάντως ἔχειν νομίζομεν, οὕτω καὶ πόλιν ἀνάγκη νοσεῖν εἰς ἣν Ἀθηναίων πρεσβεία παραγίνεται. τὸν δὲ Δημοσθένη στρέψαι τὸ παράδειγμα, φήσαντα καὶ τὸ γάλα τὸ ὄνειον ἐφ' ὑγιείᾳ, καὶ τοὺς Ἀθηναίους παραγίνεσθαι ἐπὶ σωτηρίᾳ τῶν νοσούντων. ἐφ' οἷς ἡσθεὶς ὁ τῶν Ἀθηναίων δῆμος, ψηφίζεται τῷ Δημοσθένει κάθοδον.

Τὸ μὲν οὖν ψήφισμα Δήμων ὁ Παιανιεὺς, ἀνεψιὸς ὢν Δημοσθένους, εἰσήνεγκεν. ἐπέμφθη δὲ τριήρης ἐπ' αὐτὸν εἰς Αἴγιναν. ἐκ δὲ Πειραιῶς ἀνέβαινεν, οὔτε ἄρχοντος, οὔτε ἱερέως ἀπολειφθέντος, ἀλλὰ καὶ τῶν ἄλλων πολιτῶν ὁμοῦ πάντων ἀπαντώντων καὶ δεχομένων προθύμως. ὅτε καὶ φησὶν αὐτὸν ὁ Μάγνης Δημήτριος ἀνατείναντα τὰς χεῖρας,

μακαρίσαι

μακαρίσαι τῆς ἡμέρας ἐκείνης αὐτὸν, ὡς βέλτιον Ἀλκιβιάδου κατιόντα. πεπεισμένους γὰρ, οὐ βεβιασμένους ὑπ' αὐτοῦ δέχεσθαι τοὺς πολίτας.

Τῆς δὲ χρηματικῆς ζημίας αὐτῷ μενούσης (οὐ γὰρ ἐξῆν χάριτι λῦσαι καταδίκην) ἐσοφίζοντο πρὸς τὸν νόμον. εἰωθότες γὰρ ἐν τῇ θυσίᾳ τοῦ Διὸς τοῦ σωτῆρος ἀργύριον τελεῖν τοῖς κατασκευάζουσι καὶ κοσμοῦσι τὸν βωμὸν, ἐκείνῳ τότε ταῦτα ποιῆσαι καὶ παρασχεῖν πεντήκοντα ταλάντων ἐξέδωκαν, ὅσπερ ἦν τίμημα τῆς καταδίκης.

Οὐ μὴν ἐπὶ πολὺν χρόνον ἀπέλαυσε τῆς πατρίδος κατελθὼν, ἀλλὰ ταχὺ τῶν Ἑλληνικῶν πραγμάτων συντριβέντων, Μεταγειτνιῶνος μὲν ἡ περὶ Κρανῶνα μάχη συνέπεσε, Βοηδρομιῶνος δὲ παρῆλθεν εἰς Μουνυχίαν ἡ φρουρὰ, Πυανεψιῶνος δὲ Δημοσθένης ἀπέθανε τόνδε τὸν τρόπον. ὡς Ἀντίπατρος καὶ Κρατερὸς ἠγγέλλοντο προσιόντες ἐπὶ τὰς Ἀθήνας, οἱ μὲν περὶ τὸν Δημοσθένη φθάσαντες ὑπεξῆλθον ἐκ τῆς πόλεως, ὁ δὲ δῆμος αὐτῶν θάνατον κατέγνω, Δημάδου γράψαντος. ἄλλων δ' ἀλλαχοῦ διασπαρέντων, ὁ Ἀντίπατρος περιέπεμπε τοὺς συλλαμβάνοντας, ὧν ἡγεμὼν ἦν Ἀρχίας ὁ κληθεὶς φυγαδοθήρας. τοῦτον δὲ, Θούριον ὄντα τῷ γένει, λόγος ἔχει τραγῳδίας ὑποκρίνεσθαί ποτε, καὶ τὸν Αἰγινήτην Πῶλον, τὸν ὑπερβαλόντα

τῇ τέχνῃ πάντας, ἐκείνου γεγονέναι μαθητὴν ἱστοροῦσιν· Ἕρμιππος δὲ τὸν Ἀρχίαν ἐν τοῖς Λακρίτου τοῦ ῥήτορος μαθηταῖς ἀναγράφει· Δημήτριος δὲ τῆς Ἀναξιμένους διατριβῆς μετεσχηκέναι φησὶν αὐτόν.

Οὗτος οὖν ὁ Ἀρχίας Ὑπερείδην μὲν τὸν ῥήτορα, καὶ Ἀριστόνικον τὸν Μαραθώνιον, καὶ τὸν Δημητρίου τοῦ Φαληρέως ἀδελφὸν Ἱμεραῖον, ἐν Αἰγίνῃ, καταφυγόντας ἐπὶ τὸ Αἰάκειον, ἀποσπάσας, ἔπεμψεν εἰς Κλεωνὰς πρὸς Ἀντίπατρον· κἀκεῖ διεφθάρησαν. Ὑπερείδου δὲ καὶ τὴν γλῶτταν ἐκτμηθῆναι λέγουσι. τὸν δὲ Δημοσθένη πυθόμενος ἱκέτην ἐν Καλαυρείᾳ ἐν τῷ ἱερῷ Ποσειδῶνος καθέζεσθαι, διαπλεύσας ὑπηρετικοῖς, καὶ ἀποβὰς μετὰ Θρᾳκῶν δορυφόρων, ἔπειθεν ἀναστάντα βαδίζειν μετ' αὐτοῦ πρὸς Ἀντίπατρον, ὡς δυσχερὲς πεισόμενον οὐδέν.

Ὁ δὲ Δημοσθένης ἐτύγχανεν ὄψιν ἑωρακὼς κατὰ τοὺς ὕπνους ἐκείνης τῆς νυκτὸς ἀλλόκοτον. ἐδόκει γὰρ ἀνταγωνίζεσθαι τῷ Ἀρχίᾳ, τραγῳδίαν ὑποκρινόμενος· εὐημερῶν δὲ καὶ κατέχων τὸ θέατρον, ἐνδείᾳ παρασκευῆς καὶ χορηγίας κρατεῖσθαι. διὸ τοῦ Ἀρχίου πολλὰ φιλάνθρωπα διαλεχθέντος, ἀναβλέψας πρὸς αὐτόν, ὥσπερ ἐτύγχανε καθήμενος, Ὦ Ἀρχία (εἶπεν) οὔτε ὑποκρινόμενός με ἔπει-

Ministerio de Educación, Cultura y Deporte

σας πώποτε, οὔτε νῦν πείσεις ἐπαγγελλόμενος. ἀρξαμένου δ' ἀπειλεῖν τοῦ Ἀρχίου μετ' ὀργῆς, Νῦν (ἔφη) λέγεις τὰ ἐκ τοῦ Μακεδονικοῦ τρίποδος, ἄρτι δὲ ὑπεκρίνου· μικρὸν οὖν ἐπίσχες, ὅπως ἐπιστείλω τι τοῖς οἴκοι. καὶ ταῦτ' εἰπὼν, ἐντὸς ἀνεχώρησε τοῦ ναοῦ· καὶ λαβὼν βιβλίον, ὡς γράφειν μέλλων, προσήνεγκε τῷ στόματι τὸν κάλαμον, καὶ δακὼν, ὥσπερ ἐν τῷ διανοεῖσθαι καὶ γράφειν εἰώθει, χρόνον τινὰ κατέχεν, εἶτα συγκαλυψάμενος ἀπέκλινε τὴν κεφαλήν.

Οἱ μὲν οὖν παρὰ τὰς θύρας ἑστῶτες δορυφόροι, κατεγέλων ὡς ἀποδειλιῶντος αὐτοῦ, καὶ μαλακὸν ἐκάλουν καὶ ἄνανδρον· ὁ δ' Ἀρχίας προσελθὼν ἀνίστασθαι παρεκάλει, καὶ τοὺς αὐτοὺς ἀνακυκλῶν λόγους, αὖθις ἐπηγγέλλετο διαλλαγὰς πρὸς τὸν Ἀντίπατρον. ἤδη δὲ συνῃσθημένος ὁ Δημοσθένης ἐμπεφυκότος αὐτῷ τοῦ φαρμάκου καὶ κρατοῦντος, ἐξεκαλύψατο· καὶ διαβλέψας πρὸς τὸν Ἀρχίαν, Οὐκ ἂν φθάνοις (εἶπεν) ἤδη τὸν ἐκ τῆς τραγῳδίας ὑποκρινόμενος Κρέοντα, καὶ τὸ σῶμα τοῦτο ῥίπτων ἄταφον. ἐγὼ δ' ὦ φίλε Πόσειδον ἔτι ζῶν ἐξανίσταμαι τοῦ ἱεροῦ· τῷ δὲ Ἀντιπάτρῳ καὶ Μακεδόσιν οὐδ' ὁ σὸς ναὸς καθαρὸς ἀπολέλειπται. ταῦτ' εἰπὼν, καὶ κελεύσας ὑπολαβεῖν αὐτὸν ἤδη τρέμοντα καὶ σφαλλόμενον, ἅμα τῷ προελθεῖν καὶ



Ministerio de Educación, Cultura y Deporte

παραλλάξαι τὸν βωμὸν, ἔπεσε, καὶ στενάξας ἀφῆκε τὴν ψυχήν.

Τὸ δὲ φάρμακον Ἀρίστων μὲν ἐκ τοῦ καλάμου λαβεῖν φησιν αὐτὸν, ὡς εἴρηται. Πάππος δέ τις (οὗ τὴν ἱστορίαν Ἕρμιππος ἀνείληφε) φησὶ πεσόντος αὐτοῦ παρὰ τὸν βωμὸν, ἐν μὲν τῷ βιβλίῳ γεγραμμένης ἐπιστολῆς ἀρχὴν εὑρεθῆναι, Δημοσθένης Ἀντιπάτρῳ, καὶ μηδὲν ἄλλο· θαυμαζομένης δὲ τῆς περὶ τὸν θάνατον ὀξύτητος, διηγεῖσθαι τοὺς παρὰ ταῖς θύραις Θρᾶκας, ὡς ἔκ τινος ῥακίου λαβὼν εἰς τὴν χεῖρα προσθοῖτο τῷ στόματι καὶ καταπίοι τὸ φάρμακον· αὐτοὶ δ' ἄρα χρυσὸν ᾠήθησαν εἶναι τὸ καταπινόμενον. ἡ δ' ὑπηρετοῦσα παιδίσκη, πυνθανομένων τῶν περὶ τὸν Ἀρχίαν, ἔφη πολὺν εἶναι χρόνον ἐξ οὗ φοροίη τὸν ἀπόδεσμον ἐκεῖνον ὁ Δημοσθένης ὡς φυλακτήριον. Ἐρατοσθένης δὲ καὶ αὐτός ἐν κρίκῳ φησὶ κοίλῳ τὸ φάρμακον φυλάσσειν· τὸν δὲ κρίκον εἶναι τοῦτον αὐτῷ φόρημα περιβραχιόνιον.

Τῶν δ' ἄλλων ὅσοι γεγράφασι περὶ αὐτοῦ (πάμπολλοι δέ εἰσι) τὰς διαφορὰς οὐκ ἀναγκαῖον ἐπεξελθεῖν· πλὴν ὅτι Δημοχάρεις, ὁ τοῦ Δημοσθένους οἰκεῖος, οἴεσθαί φησιν αὐτὸν οὐχ ὑπὸ φαρμάκου, θεῶν δὲ τιμῇ καὶ προνοίᾳ, τῆς Μακεδόνων ὠμότητος ἐξαρπαγῆναι, συντόμως κατα-

Ministerio de Educación, Cultura y Deporte

στρέψαντα καὶ ἀλύπως. κατέστρεψε δὲ ἕκτῃ ἐπὶ δέκα τοῦ Πυανεψιῶνος μηνὸς, ἐν ᾗ τὴν σκυθρωποτάτην τῶν θεσμοφορείων ἡμέραν ἄγουσαι παρὰ τῇ θεῷ νηστεύουσιν αἱ γυναῖκες.

Τούτῳ μὲν ὀλίγον ὕστερον ὁ τῶν Ἀθηναίων δῆμος ἀξίαν ἀποδιδοὺς τιμὴν, εἰκόνα τε χαλκῆν ἀνέστησε, καὶ τὸν πρεσβύτατον ἐψηφίσατο τῶν ἀπὸ τοῦ γένους ἐν Πρυτανείῳ σίτησιν ἔχειν. καὶ τὸ ἐπίγραμμα τὸ θρυλλούμενον ἐπεγράφη τῇ βάσει τοῦ ἀνδριάντος,

Εἴπερ ἴσην ῥώμην γνώμῃ Δημόσθενες εἶχες,
Οὔποτ' ἂν Ἑλλήνων ἦρξεν ἄρης Μακεδών.

οἱ γὰρ αὐτὸν τὸν Δημοσθένη τοῦτο ποιῆσαι λέγοντες ἐν Καλαβρείᾳ, μέλλοντα τὸ φάρμακον προσφέρεσθαι, κομιδῇ φλυαροῦσι.

Μικρὸν δὲ πρόσθεν ἢ παραβαλεῖν ἡμᾶς Ἀθήναζε, λέγεταί τι τοιοῦτον συμβῆναι· στρατιώτης ἐπὶ κρίσιν τινὰ καλούμενος ἡγεμόνος, ὅσον εἶχε χρυσίδιον, εἰς τὰς χεῖρας ἀνέθηκε τοῦ ἀνδριάντος. ἕστηκε δὲ τοὺς δακτύλους συνέχων δι' ἀλλήλων, καὶ παραπέφυκεν οὐ μεγάλη πλάτανος· ἀπὸ ταύτης πολλὰ τῶν φύλλων (εἴτε πνεύματος ἐκ τύχης καταβαλόντος, εἴτ' αὐτὸς οὕτος ὁ θεὶς ἐκάλυψε) περικείμενα καὶ συμπεσόντα λαθεῖν ἐποίησε τὸ χρυσίον οὐκ ὀλίγον χρόνον. ὡς δ' ὁ ἄνθρωπος ἐπανελθὼν ἀνεῦρε, καὶ διεδόθη λόγος ὑπὲρ τούτου, πολλοὶ

Ministerio de Educación, Cultura y Deporte

τὴν εὐφυῶν ὑπόθεσιν λαβόντες εἰς τὸ ἀδωροδόκητον τοῦ Δημοσθένους, διημιλλῶντο τοῖς ἐπιγράμμασι.

Δημάδην δὲ χρόνον οὐ πολὺν ἀπολαύσαντα τῆς φυομένης δόξης, ἡ Δημοσθένους δίκη κατήγαγεν εἰς Μακεδονίαν, οὓς ἐκολάκευεν αἰσχρῶς, ὑπὸ τούτων ἐξολλύμενον δικαίως· ἐπαχθῆ μὲν ὄντα καὶ πρότερον αὐτοῖς, τότε δ' εἰς αἰτίαν ἄφυκτον ἐμπεσόντα. γράμματα γὰρ ἐξέπεσεν αὐτοῦ, δι' ὧν παρεκάλει Περδίκκαν ἐπιχειρεῖν Μακεδονίᾳ, καὶ σώζειν τοὺς Ἕλληνας, ὡς ἀπὸ σαπροῦ καὶ παλαιοῦ στήμονος (λέγων τὸν Ἀντίπατρον) ἠρτημένους. ἐφ' οἷς Δεινάρχου τοῦ Κορινθίου κατηγορήσαντος, παροξυνθεὶς ὁ Κάσανδρος ἐγκατέσφαξεν αὐτοῦ τῷ κόλπῳ τὸν υἱόν, εἶτα οὕτως ἐκεῖνον ἀνελεῖν προσέταξεν, ἐν τοῖς μεγίστοις διδασκόμενον ἀτυχήμασιν, ὅτι πρώτους ἑαυτοὺς οἱ προδόται πωλοῦσιν· ὃ πολλάκις Δημοσθένους προαγορεύοντος, οὐκ ἐπίστευσεν. τὸν μὲν οὖν Δημοσθένους ἔχεις Σόσσιε βίον, ἐξ ὧν ἡμεῖς ἀνέγνωμεν ἢ διηκούσαμεν.

ΤΕΛΟΣ.

Ministerio de Educación, Cultura y Deporte

# CATALOGUE

*de différents Traités des Auteurs Grecs & Latins, imprimés en* in-4°. & in-8°. *à l'usage des Colléges.*

EVANGELIUM græcum secundum Lucam, *in*-8°. gros caractere, 1771.

Acta Apostolorum Capitulis distincta, *in*-8°. *idem.* 1771.

## EX HOMERO.

Homeri Iliados, Lib. I, II, III, IV, *in*-4°.
— Batrachomyomachia, *in*-4°.
— Selecti loci, gr. & lat. cum notis, *in*-4°.

## EX ISOCRATE.

Isocratis ad Nicoclem oratio de Regno, *in*-8°. 1768. gros caractere.
— Nicocles, de civium erga regem officiis, *idem.* 1768.
— Ad Demonicum, *idem.* 1766.
— Evagoras, sive Evagoræ laudatio, *idem.* 1769.

## EX DEMOSTHENE.

Demosthenis in Philippum Orat. I, II, III, IV, *in* 4°.

## EX LUCIANO.

Luciani mortuorum dialogi græci selecti cum interpretatione & grammatica singularum vocum explanatione, *in*-12.
— Timon, *in*-4°. — Gallus, *in*-4°. — Judicium vocalium, *in*-4°.

## EX XENOPHONTE.

Xenophontis Atheniensium Respublica, *in* 4°.

Ministerio de Educación, Cultura y Deporte

## EX PLUTARCHO.

Plutarchus de fraterno amore, *in*-4o.
— Apophtegmata Regum & Imperator. *in*-8o. 1766.
— Vita Syllæ, *in*-8o. 1767. — Sertorii, *in*-8o. 1768.
— C. Marii, *in*-8o. 1769. — Ciceronis, *in*-8o. *idem*.

## EX CICERONE.

Cicero de Senectute, de Amicitia, de Officiis, in Catilinam, pro Murena, in Pisonem, pro Sextio, pro Milone, pro Roscio Amerino, in Verrem de Suppliciis, in Verrem de Signis, *in*-4o.

## EX VIRGILIO.

Virgilii Bucolica, *in*-4o.
— Georgicon, Lib. I & IV, *in*-4o.
— Æneidos, Lib. I, II, usque ad undecimum, *in*-4o.

## EX PHÆDRO.

Phædri Fabularum, Lib. I, II, III, IV, V, *in*-4o.

## EX OVIDIO.

Ovidii Epistolæ ex libris e Ponto, *in*-4o.
— Tristium, Lib. I, II, III, IV, *in*-4o.
— Metamorphoseon, Liber I, II, VII, XII, XIII, XIV, XV.
Selectæ ex Ovidio Fabulæ, cum notis gallicis, *in*-8o. 1767.

---

*On trouve chez le même Libraire, tous les Livres à l'usage des Classes; comme Grammaires, Dictionnaires, Auteurs Latins, avec leur traduction.*

Ministerio de Educación, Cultura y Deporte

# ΠΛΟΥΤΑΡΧΟΥ

ΧΑΙΡΩΝΕΩΣ

## ΑΠΟΦΘΕΓΜΑΤΑ

## ΒΑΣΙΛΕΩΝ ΚΑΙ ΣΤΡΑΤΗΓΩΝ.

# PLUTARCHI

CHÆRONEI

## APOPHTEGMATA

## REGUM ET IMPERATORUM.

*PARISIIS,*

Apud J. BARBOU, viâ Mathurinensium.

*M. DCC. LXXV.*

MUSEO ARQUEOLOGICO NACIONAL

Ministerio de Educación, Cultura y Deporte

Ministerio de Educación, Cultura y Deporte

# ΠΛΟΥΤΑΡΧΟΥ

## ΧΑΙΡΩΝΕΩΣ

# ΑΠΟΦΘΕΓΜΑΤΑ

## ΒΑΣΙΛΕΩΝ ΚΑΙ ΣΤΡΑΤΗΓΩΝ.

### ΚΥΡΟΥ ΑΠΟΦΘΕΓΜΑΤΑ.

1. ΠΕΡΣΑΙ τῶν γρυπῶν ἐρῶσι, καὶ καλλίστους ὑπολαμβάνουσι, διὰ τὸ Κῦρον, ἀγαπηθέντα μάλιστα τῶν βασιλέων, γεγονέναι γρυπὸν τὸ εἶδος. Ἔλεγε δὲ Κῦρος ἑτέροις ἀναγκάζεσθαι τἀγαθὰ πορίζειν τοὺς αὐτοῖς μὴ θέλοντας, ἄρχειν δὲ μηδενὶ προσήκειν, ὃς οὐ κρείττων ἐστὶ τῶν ἀρχομένων.

2. Βουλομένους δὲ τοὺς Πέρσας, ἀντὶ τῆς ἑαυτῶν οὔσης ὀρεινῆς καὶ τραχείας, πεδιάδα καὶ μαλακὴν χώραν λαβεῖν, οὐκ εἴασεν, εἰπὼν ὅτι καὶ τῶν φυτῶν τὰ σπέρματα, καὶ τῶν ἀνθρώπων οἱ βίοι ταῖς χώραις συνεξομοιοῦνται.

### ΔΑΡΕΙΟΥ.

1. Δαρεῖος ὁ Ξέρξου πατὴρ ἑαυτὸν ἐγκωμιά-



Ministerio de Educación, Cultura y Deporte

ζων, ἔλεγεν ἐν ταῖς μάχαις καὶ περὶ τὰ δεινὰ γίγνεσθαι φρονιμώτερος.

2. Τοὺς δὲ φόρους τοῖς ὑπηκόοις τάξας, μετεπέμψατο τοὺς πρώτους τῶν ἐπαρχιῶν, καὶ περὶ τῶν φόρων ἠρώτησε, μὴ βαρεῖς εἰσι· φησάντων δὲ μετρίως ἔχειν, ἐκέλευσε τελεῖν τοὺς ἡμίσεις ἕκαστον.

3. Ῥοιὰν δὲ μεγάλην ἀνοίξας, πυθομένου τινὸς τί ἂν ἔχειν βούλοιτο τοσοῦτον; ὅσον ἐστὶ τῶν κόκκων τὸ πλῆθος, εἶπε, Ζωπύρους. Ἦν δὲ ἀνὴρ ἀγαθὸς καὶ φίλος ὁ Ζώπυρος.

4. Ἐπεὶ δὲ αὐτὸς ἑαυτὸν αἰκισάμενος ὁ Ζώπυρος, καὶ τὴν ῥῖνα καὶ τὰ ὦτα περικόψας, ἐξηπάτησε Βαβυλωνίους, καὶ πιστευθεὶς ὑπ' αὐτῶν, παρέδωκε Δαρείῳ τὴν πόλιν, πολλάκις ὁ Δαρεῖος εἶπεν οὐκ ἂν ἐθελῆσαι λαβεῖν ἑκατὸν Βαβυλῶνας ἐπὶ τῷ μὴ Ζώπυρον ἔχειν ὁλόκληρον.

ΣΕΜΙΡΑΜΙΔΟΣ.

Σεμίραμις δὲ ἑαυτῇ κατασκευάσασα τάφον, ἐπέγραψεν, ὅστις ἂν χρημάτων δεηθῇ βασιλεὺς, διελόντα τὸ μνημεῖον, ὅσα βούλεται, λαβεῖν. Δαρεῖος οὖν διελών, χρήματα μὲν οὐχ εὗρε, γράμμασι δὲ ἑτέροις ἐνέτυχε τάδε φράζουσιν· Εἰ μὴ κακὸς ἦσθ' ἀνὴρ καὶ χρημάτων ἄπληστος, οὐκ ἂν νεκρῶν θήκας ἐκίνεις.

ΞΕΡΞΟΥ.

Ξέρξῃ τῷ Δαρείου περὶ τῆς βασιλείας ἀμφισβητῶν ὁ ἀδελφὸς Ἀριμένης, κατέβαινεν ἐκ τῆς Βακτριανῆς. Ἔπεμψεν οὖν αὐτῷ δῶρα, φράσαι κελεύ-

Ministerio de Educación, Cultura y Deporte

σας τοὺς διδόντας· «Τούτοις τιμᾷ νῦν Ξέρξης ὁ ἀδελφός· ἐὰν δὲ βασιλεὺς ἀναγορευθῇ, πάντων ἔσῃ παρ' αὐτῷ μέγιστος». Ἀποδειχθέντος δὲ τοῦ Ξέρξου βασιλέως, ὁ μὲν Ἀριμένης εὐθὺς προσεκύνησε καὶ τὸ διάδημα περιέθηκεν· ὁ δὲ Ξέρξης ἐκείνῳ τὴν δευτέραν μεθ' ἑαυτὸν ἔδωκε τάξιν.

ΑΡΤΑΞΕΡΞΟΥ.

1. Ἀρταξέρξης ὁ Ξέρξου, ὁ Μακρόχειρ προσαγορευθεὶς διὰ τὸ τὴν ἑτέραν χεῖρα μακροτέραν ἔχειν, ἔλεγεν ὅτι τὸ προσθεῖναι τοῦ ἀφελεῖν βασιλικώτερόν ἐστι.

2. Πρωτοβολεῖν ἐκέλευσε τῶν συγκυνηγετούντων τοὺς δυναμένους καὶ βουλομένους.

3. Πρῶτος δὲ τοῖς ἁμαρτάνουσι τῶν ἡγεμονικῶν τιμωρίαν ἔταξεν, ἀντὶ τοῦ τὸ σῶμα μαστιγοῦν, μαστιγοῦσθαι μὲν ἀποδυσαμένων τὰ ἱμάτια· καὶ ἀντὶ τοῦ τὴν κεφαλὴν ἀποτίλλεσθαι, τὴν τιάραν ἀποθεμένων.

4 Σατιβαρζάνην δὲ τὸν κατακοιμιστὴν αἰτούμενόν τι παρ' αὐτοῦ τῶν μὴ δικαίων, αἰσθόμενος ἐπὶ τρισμυρίοις Δαρεικοῖς τοῦτο ποιοῦντα, προσέταξε τῷ ταμίᾳ τρισμυρίους Δαρεικοὺς κομίσαι· καὶ διδοὺς αὐτῷ, Λάβε, εἶπε, ὦ Σατιβαρζάνη· ταῦτα μὲν γὰρ δοὺς οὐκ ἔσομαι πενέστερος· ἐκεῖνα δὲ πράξας, ἀδικώτερος.

ΑΡΤΑΞΕΡΞΟΥ ΜΝΗΜΟΝΟΣ.

Ἐν φυγῇ τινι τῆς ἀποσκευῆς αὐτοῦ διαρπαγείσης, ξηρὰ σῦκα καταφαγὼν καὶ κρίθινον ἄρτον, Οἵας, εἶπεν, ἡδονῆς ἄπειρος ἤμην.



Ministerio de Educación, Cultura y Deporte

## ΠΑΡΥΣΑΤΙΔΟΣ.

Παρύσατις, ἡ Κύρου καὶ Ἀρταξέρξου μήτηρ, ἐκέλευε τὸν πρὸς βασιλέα μέλλοντα μετὰ παῤῥησίας διαλέγεσθαι, βυσσίνοις χρῆσθαι ῥήμασι.

## ΟΡΟΝΤΟΥ.

Ὀρόντης ὁ βασιλέως Ἀρταξέρξου γαμβρὸς, ἀτιμίᾳ περιπεσὼν δι' ὀργὴν καὶ καταγνωσθεὶς ἔφη· καθάπερ οἱ τῶν ἀριθμητικῶν δάκτυλοι νῦν μὲν μυριάδας, νῦν δὲ μονάδα τιθέναι δύνανται, τὸ αὐτὸ καὶ τοὺς τῶν βασιλέων φίλους, νῦν μὲν τὸ πᾶν δύνασθαι, νῦν δὲ τοὐλάχιστον

## ΑΙΓΥΠΤΙΩΝ ΒΑΣΙΛΕΩΝ.

Οἱ Αἰγυπτίων βασιλεῖς κατὰ νόμον ἑαυτῶν τοὺς δικαστὰς ἐξώρκιζον, ὅτι, κἂν βασιλεύς τι προστάξῃ κρῖναι τῶν μὴ δικαίων, οὐ κρινοῦσι.

## ΤΗΡΟΥ.

Τήρης ὁ Σιτάλκου πατὴρ ἔλεγεν, ὁπότε σχολάζοι καὶ μὴ στρατεύοιτο, τῶν ἱπποκόμων οἴεσθαι μηδὲν διαφέρειν.

## ΣΚΙΛΟΥΡΟΥ.

Σκίλουρος ὀγδοήκοντα παῖδας ἄῤῥενας ἀπολιπὼν, ἐπεὶ τελευτᾷν ἔμελλε, δέσμην ἀκοντίων ἑκάστῳ προτείνων, ἐκέλευσε καταθραῦσαι. Πάντων δὲ ἀπαγορευσάντων, καθ' ἓν αὐτὸς ἐξελὼν ἀκόντιον, ἅπαντα ῥᾳδίως συνέκλασε· διδάσκων ἐκείνους, ὅτι συνεστῶτες, ἰσχυροὶ διαμενοῦσι, ἀσθενεῖς δ' ἔσονται διαλυθέντες καὶ στασιάσαντες.

Ministerio de Educación, Cultura y Deporte

## ΙΕΡΩΝΟΣ.

1. Ἱέρων, ὁ μετὰ Γέλωνα τύραννος, ἔλεγε μηδένα τῶν παρρησιαζομένων πρὸς αὐτὸν, ἄκαιρον εἶναι.

2. Λοιδορηθεὶς δὲ ὑπό τινος εἰς τὴν δυσωδίαν τοῦ στόματος, ᾐτιᾶτο τὴν αὑτοῦ γυναῖκα μηδέποτε περὶ τούτου φράσασαν. Ἡ δὲ εἶπεν, Ὤιμην γὰρ τοιοῦτον ἅπαντας τοὺς ἄνδρας ὄζειν.

## ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ.

1. Πικρῶς μὲν τοὺς ἄλλους κακούργους κολάζων, ἐφείδετο τῶν λωποδυτῶν, ὅπως παύσωνται οἱ Συρακούσιοι τοῦ δειπνεῖν καὶ μεθύσκεσθαι μετ' ἀλλήλων.

2. Ξένου δέ τινος ἰδίᾳ φράσειν φάσκοντος αὐτῷ, καὶ διδάξειν ὅπως προειδῇ τοὺς ἐπιβουλεύοντας, ἐκέλευσεν εἰπεῖν. Ἐπεὶ δὲ προσελθὼν, Δὸς, εἶπε, μοι τάλαντον, ἵνα δόξῃς ἀκηκοέναι τὰ σημεῖα τῶν ἐπιβουλευόντων. Ἔδωκε προσποιούμενος ἀκηκοέναι, καὶ ἐθαύμαζε τὴν μέθοδον τοῦ ἀνθρώπου.

3. Πρὸς δὲ τὸν πυθόμενον εἰ σχολάζοι, Μηδέποτε, εἶπεν, ἐμοὶ τοῦτο συμβαίη.

## ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ ΝΕΩΤΕΡΟΥ.

1. Ὁ δὲ νεώτερος Διονύσιος ἔλεγε πολλοὺς τρέφειν σοφιστὰς, οὐ θαυμάζων ἐκείνους, ἀλλὰ δι' ἐκείνων θαυμάζεσθαι βουλόμενος.

2. Ἐκπεσὼν δὲ τῆς ἀρχῆς, πρὸς μὲν τὸν εἰπόντα, Τί σε Πλάτων καὶ φιλοσοφία ὠφέλησε; Τὸ τηλικαύτην, ἔφη, τύχης μεταβολὴν ῥᾳδίως ὑπομένειν.

## ΑΓΑΘΟΚΛΟΥΣ.

Ἀγαθοκλῆς υἱὸς ἦν κεραμέως. Γενόμενος δὲ κύριος Σικελίας, καὶ βασιλεὺς ἀναγορευθεὶς, εἰώθει κεράμεα ποτήρια τιθέναι παρὰ τὰ χρυσᾶ, καὶ τοῖς νέοις ἐπιδεικνύμενος λέγειν, ὅτι τοιαῦτα ποιῶν πρότερον, νῦν ταῦτα ποιεῖν διὰ τὴν ἐπιμέλειαν καὶ τὴν ἀνδρείαν.

## ΑΡΧΕΛΑΟΥ.

Ἀδολέσχου κουρέως ἐρωτήσαντος αὐτὸν, Πῶς σε κείρω; Σιωπῶν, ἔφη.

## ΦΙΛΙΠΠΟΥ ΜΑΚΕΔΟΝΟΣ.

1. Πολλῶν κατορθωμάτων αὐτῷ καὶ καλῶν ἐν μιᾷ ἡμέρᾳ προσαγγελθέντων, Ὦ τύχη, εἶπεν, μικρόν τι μοι κακὸν ἀντὶ τοσούτων καὶ τηλικούτων ἀγαθῶν ποίησον.

2. Τοῖς δὲ τῶν Ἀθηναίων δημαγωγοῖς ἔφη χάριν ἔχειν, ὅτι λοιδοροῦντες αὐτὸν βελτίονα ποιοῦσι καὶ τῷ λόγῳ καὶ τῷ ἤθει. Πειρῶμαι γὰρ αὐτοὺς ἅμα καὶ τοῖς λόγοις καὶ τοῖς ἔργοις ψευδομένους ἐλέγχειν.

3. Τοὺς δὲ συμβουλεύοντας αὐτῷ πικρῶς χρῆσθαι τοῖς Ἀθηναίοις, ἀτόπους ἔλεγεν εἶναι, κελεύοντας ἄνθρωπον ὑπὲρ δόξης πάντα ποιοῦντα καὶ πάσχοντα ἀποβαλεῖν τὸ τῆς δόξης θέατρον.

4. Γενόμενος δὲ κριτὴς δυοῖν πονηροῖν, ἐκέλευσε τὸν μὲν φεύγειν ἐκ Μακεδονίας, τὸν δὲ ἕτερον διώκειν.

5. Μέλλων δὲ καταστρατοπεδεύειν ἐν χωρίῳ

καλῷ, καὶ πυθόμενος ὅτι χόρτος οὐκ ἔστι τοῖς ὑποζυγίοις, Οἷος, εἶπεν, ἡμῶν ὁ βίος ἐστὶν, εἰ καὶ πρὸς τὸν τῶν ὄνων καιρὸν ὀφείλομεν ζῆν;

6. Φρούριον δέ τι βουλόμενος λαβεῖν ὀχυρὸν, ὡς ἀπήγγειλαν οἱ κατάσκοποι χαλεπὸν εἶναι παντάπασι καὶ ἀνάλωτον, ἠρώτησεν, εἰ χαλεπὸν οὕτως ἐστὶν, ὥστε μηδὲ ὄνον προσελθεῖν χρυσίον κομίζοντα.

7. Ἱππάρχου τοῦ Εὐβοέως ἀποθανόντος δῆλος ἦν βαρέως φέρων. Εἰπόντος δέ τινος, Ἀλλὰ μὴν ὡραῖος ὢν ἐκεῖνος ἀποτέθνηκεν. Ἑαυτῷ γε, εἶπεν, ἐμοὶ δὲ ταχέως· ἔφθη γὰρ τελευτῆσαι πρὶν ἢ παρ' ἐμοῦ χάριν ἀξίαν τῆς φιλίας ἀπολαβεῖν.

8. Τῶν δὲ Ἀντιπάτρου φίλων τινὰ καταταξας εἰς τοὺς δικαστὰς, εἶτα τὸν πώγωνα βαπτόμενον αἰσθανόμενος καὶ τὴν κεφαλὴν, ἀνέστησεν, ὅτι ἄπιστος ἐν θριξὶ, καὶ ἐν πράγμασι.

9. Μαχαίτᾳ δέ τινι κρίνων δίκην καὶ ὑπονυστάζων, οὐ πάνυ προσεῖχε τοῖς δικαίοις, ἀλλὰ κατέκρινε. Ἐκείνου δὲ ἀναβοήσαντος ἐκκαλεῖσθαι κρίσιν, διοργισθεὶς, Ἐπί τινα; εἶπε· καὶ ὁ Μαχαίτας, Ἐπί σε, βασιλεῦ, αὐτὸν, ἂν ἐγρηγορὼς καὶ προσέχων ἀκούῃς. Τότε μὲν οὖν ἀνέστη· γενόμενος δὲ μᾶλλον ἐφ' ἑαυτὸν, καὶ γνοὺς ἀδικούμενον τὸν Μαχαίταν, τὴν μὲν κρίσιν οὐκ ἔλυσε, τὸ δὲ τίμημα τῆς δίκης αὐτὸς ἐξέτισεν.

10. Κοιμηθεὶς δὲ πλείονα χρόνον ἐπὶ στρατείας, εἶτα διαναστὰς, Ἀσφαλῶς, εἶπεν, ἐκάθευδον· Ἀντίπατρος γὰρ ἐγρηγόρει.

Ministerio de Educación, Cultura y Deporte

11. Πάλιν δὲ ἡμέρας καθεύδοντος αὐτοῦ, καὶ τῶν ἠθροισμένων ἐπὶ θύραις Ἑλλήνων ἀγανακτούντων καὶ ἐγκαλούντων, ὁ Παρμενίων, Μὴ θαυμάσητε, εἶπεν, εἰ καθεύδει νῦν Φίλιππος· ὅτε γὰρ ἐκαθεύδετε ὑμεῖς, οὗτος ἐγρηγόρει.

12. Ψάλτην δέ τινα βουλομένου παρὰ δεῖπνον ἐπανορθοῦν αὐτοῦ καὶ λαλεῖν περὶ κρουμάτων, ὁ ψάλτης, Μὴ γένοιτό σοι, εἶπεν, κακῶς οὕτως, ὦ βασιλεῦ, ἵνα ταῦτα ἐμοῦ βέλτιον εἰδῇς.

13. Πρεσβύτιδος δὲ πενιχρᾶς ἀξιούσης ἐπ' αὐτοῦ κριθῆναι καὶ πολλάκις ἐνοχλούσης, ἔφη μὴ σχολάζειν. Ἡ δὲ πρεσβῦτις ἐγκραγοῦσα, Καὶ μὴ βασίλευε, εἶπεν. Ὁ δὲ θαυμάσας τὸ ῥηθὲν, οὐ μόνον ἐκείνης, ἀλλὰ καὶ τῶν ἄλλων εὐθὺς διήκουσεν.

## ΑΛΕΞΑΝΔΡΟΥ.

1. Ἀλέξανδρος ἔτι παῖς ὢν, πολλὰ τοῦ Φιλίππου κατορθοῦντος, οὐκ ἔχαιρεν, ἀλλὰ πρὸς τοὺς συντρεφομένους ἔλεγε παῖδας, Ἐμοὶ δὲ ὁ πατὴρ οὐδὲν ἀπολείψει. Τῶν δὲ παίδων λεγόντων ὅτι, Ταῦτά σοι κτᾶται· Τί δὲ ὄφελος, εἶπεν, ἐὰν ἔχω μὲν πολλὰ, πράξω δὲ οὐδέν;

2. Ἐλαφρὸς δὲ ὢν καὶ ποδώκης, καὶ παρακαλούμενος ὑπὸ τοῦ πατρὸς Ὀλύμπια δραμεῖν στάδιον, Εἴγε, ἔφη, βασιλεῖς ἕξειν ἔμελλον ἀνταγωνιστάς.

3. Ἐπιθυμιῶντι δὲ τοῖς Θεοῖς ἀφειδῶς αὐτῷ, καὶ πολλάκις ἐπιδραττομένῳ τοῦ λιβανωτοῦ, παρὼν Λεωνίδης ὁ παιδαγωγὸς, Οὕτως, εἶπεν, ὦ παῖ,

Ministerio de Educación, Cultura y Deporte

δαψιλῶς ἐπιθυμιάσεις, ὅταν τῆς λιβανωτοφόρου κρατήσῃς. Ὡς οὖν ἐκράτησεν, ἔπεμψεν ἐπιστολὴν πρὸς αὐτὸν, Ἀπέσταλκά σοι τάλαντα ἑκατὸν λιβανωτοῦ καὶ κασίας, ἵνα μηκέτι μικρολογῇ πρὸς τοὺς Θεοὺς, εἰδὼς ὅτι καὶ τῆς ἀρωματοφόρου κρατοῦμεν.

4. Μέλλων δὲ τὴν ἐπὶ Γρανίκῳ μάχην μάχεσθαι, παρεκάλει τοὺς Μακεδόνας ἀφθόνως δειπνεῖν, καὶ πάντα φέρειν εἰς μέσον, ὡς αὔριον δειπνήσοντας ἐκ τῶν πολεμίων.

5. Ἐν δὲ Μιλήτῳ πολλοὺς ἀνδριάντας ἀθλητῶν θεασάμενος Ὀλύμπια καὶ Πύθια νενικηκότων, Καὶ ποῦ τὰ τηλικαῦτα ἦν σώματα, ἔφη, ὅτε οἱ βάρβαροι ὑμῶν τὴν πόλιν ἐπολιόρκουν;

6. Τῆς δὲ τῶν Καρῶν βασιλίσσης Ἄδας ὄψα καὶ πέμματα παρεσκευασμένα περιττῶς διὰ δημιουργῶν καὶ μαγείρων φιλοτιμουμένης ἀεὶ πέμπειν πρὸς αὐτὸν, ἔφη κρείττονας ἔχειν αὐτὸς ὀψοποιούς· πρὸς μὲν ἄριστον τὴν νυκτοπορίαν, πρὸς δὲ δεῖπνον, τὴν ὀλιγαριστίαν.

7. Ἐπεὶ δὲ παρεσκευασμένων πάντων πρὸς μάχην, ἠρώτησαν οἱ στρατηγοὶ, Μή τι πρὸς τούτοις ἕτερον; Οὐδὲν, εἶπεν, ἢ ξυρᾶν τὰ γένεια τῶν Μακεδόνων. Θαυμάσαντος δὲ τοῦ Παρμενίωνος, Οὐκ οἶδας, εἶπε, ὅτι βελτίων οὐκ ἔστιν ἐν μάχῃ λαβὴ, ἢ πώγωνος;

8. Δαρείου διδόντος αὐτῷ μυρία τάλαντα, καὶ τὴν Ἀσίαν νείμασθαι πρὸς αὐτὸν ἐπίσης· καὶ Παρμενίωνος εἰπόντος, Ἔλαβον ἂν, εἰ Ἀλέξανδρος ἤμην, Κἀγὼ νὴ Δία, εἶπεν, εἰ Παρμενίων ἤμην.

Ministerio de Educación, Cultura y Deporte

Ἀπεκρίνατο δὲ Δαρείῳ μήτε τὴν γῆν ἡλίους δύο, μήτε τὴν Ἀσίαν δύο βασιλεῖς ὑπομένειν.

9. Παραταττομένου δὲ τοῦ στρατεύματος, ἰδών τινα τῶν στρατιωτῶν τὸ ἀκόντιον ἐναγκυλούμενον, ἐξέωσε τῆς φάλαγγος ὡς ἄχρηστον, ὃς παρασκευάζεται δὴ νῦν, ὅτε δεῖ χρῆσθαι τοῖς ὅπλοις.

10. Ἐν δὲ Ἄμμωνος ὑπὸ τοῦ προφήτου παῖς Διὸς προσαγορευθεὶς, Οὐδέν γε, ἔφη, θαυμαστόν· πάντων μὲν γὰρ ὁ Ζεὺς φύσει πατήρ ἐστιν, ἑαυτοῦ δὲ ποιεῖται τοὺς ἀρίστους.

11. Τοξεύματι δὲ πληγεὶς εἰς τὸ σκέλος, ὡς πολλοὶ συνέδραμον τῶν πολλάκις εἰωθότων αὐτὸν θεὸν προσαγορεύειν, διαχυθεὶς τῷ προσώπῳ, Τουτὶ μὲν αἷμα, εἶπεν, ὡς ὁρᾶτε, καὶ οὐκ ἰχώρ, οἷός πέρ τε ῥέει μακάρεσσι θεοῖσιν.

12. Ἐπαινούντων δὲ ἐνίων τοῦ Ἀντιπάτρου τὴν εὐτέλειαν ὡς ἀθρύπτως διαιτωμένου καὶ αὐστηρῶς, Ἔξωθεν, εἶπεν, Ἀντίπατρος λευκοπάρυφός ἐστι, τὰ δὲ ἔνδον, ὁλοπόρφυρος.

13. Τῶν δὲ Ἰνδῶν τὸν ἄριστα τοξεύειν δοκοῦντα, καὶ λεγόμενον διὰ δακτυλίου τὸν οἰστὸν ἀφιέναι, λαβὼν αἰχμάλωτον, ἐκέλευσεν ἐπιδείξασθαι· καὶ μὴ βουλόμενον ὀργισθεὶς ἀνελεῖν προσέταξε. Ἐπεὶ δὲ ἀγόμενος ὁ ἄνθρωπος ἔλεγε πρὸς τοὺς ἄγοντας, ὅτι πολλῶν ἡμερῶν οὐ μεμελέτηκε, καὶ ἐφοβήθη διαπεσεῖν, ἀκούσας ὁ Ἀλέξανδρος ἐθαύμασε, καὶ ἀπέλυσε μετὰ δώρων αὐτὸν, ὅτι μᾶλλον ἀποθανεῖν ὑπέμεινεν, ἢ τῆς δόξης ἀνάξιος φανῆναι.

14. Τῶν δὲ πρώτων φίλων καὶ κρατίστων τιμα-

μὲν ἐδόκει Κρατερὸν μάλιστα πάντων, φιλεῖν δὲ Ἡφαιστίωνα. Κρατερὸς μὲν γὰρ, ἔφη, φιλοβασιλεύς ἐστι Ἡφαιστίων δὲ, φιλαλέξανδρος.

14 Πυθόμενος δὲ ὑπό τινος λοιδορεῖσθαι, Βασιλικὸν, ἔφη, ἐστιν εὖ ποιοῦντα κακῶς ἀκούειν.

15 Ἀποθνήσκων δὲ, πρὸς τοὺς ἑταίρους ἰδὼν ἔφη, Μέγαν ὁρῶ μου τὸν ἐπιτάφιον ἐσόμενον.

ἈΝΤΙΓΟΝΟΥ.

1. Νοσήσας μὲν μακρὰν νόσον, ὡς ἀνέῤῥωσεν, Οὐδὲν, ἔφη, χεῖρον. Ὑπέμνησε γὰρ ἡμᾶς ἡ νόσος μὴ μέγα φρονεῖν, ὡς ὄντας θνητούς.

2 Εἰπόντος δέ τινος ὅτι πάντα καλὰ καὶ δίκαια τοῖς βασιλεῦσι, Ναὶ μὰ Δία, εἶπεν, τοῖς τῶν βαρβάρων· ἡμῖν δὲ μόνα καλὰ, τὰ καλὰ, καὶ μόνα δίκαια, τὰ δίκαια.

ΔΗΜΗΤΡΙΟΥ.

Ῥοδίους δὲ πολιορκῶν ὁ Δημήτριος ἔλαβεν ἔν τινι προαστείῳ πίνακα Πρωτογένους τοῦ ζωγράφου τὸν Ἰάλυσον γράφοντος. Ἐπικηρυκευσαμένων δὲ τῶν Ῥοδίων, καὶ φείσασθαι τοῦ πίνακος παρακαλούντων, ἔφη μᾶλλον τὰς τοῦ πατρὸς εἰκόνας ἢ τὴν γραφὴν ἐκείνην διαφθείρειν.

ἈΝΤΙΓΟΝΟΥ ΤΟΥ ΔΕΥΤΕΡΟΥ.

1. Μέλλων ναυμαχεῖν πρὸς τοὺς Πτολεμαίου στρατηγοὺς, εἰπόντος τοῦ κυβερνήτου πολὺ πλείονας εἶναι τὰς τῶν πολεμίων ναῦς, Ἐμὲ δὴ, ἔφη, αὐτὸν παρόντα πρὸς πόσας ἀντιτάττεις;

Ministerio de Educación, Cultura y Deporte

2. Ὑποχωρῶν δέ ποτε τοῖς πολεμίοις ἐπερχομένοις, οὐκ ἔφη φεύγειν, ἀλλὰ διώκειν τὸ συμφέρον ὀπίσω κείμενον.

3. Ἐπεὶ δὲ νεανίσκος ἀνδρείου πατρὸς, αὐτὸς δὲ μὴ πάνυ δοκῶν ἀγαθὸς εἶναι στρατιώτης, ἠξίου τὰς τοῦ πατρὸς λαμβάνειν ἀποφορὰς, Ἀλλ' ἐγὼ, εἶπεν, ὦ μειράκιον, ἀνδραγαθίας, οὐ πατραγαθίας μισθοὺς καὶ δωρεὰς δίδωμι.

4 Ζήνωνος δὴ τοῦ Κιτιέως ἀποθανόντος, ὃν μάλιστα τῶν φιλοσόφων ἐθαύμασεν, ἔλεγε τὸ θέατρον αὐτοῦ τῶν πράξεων ἀνῃρῆσθαι.

ΛΥΣΙΜΑ'ΧΟΥ.

1. Λυσίμαχος ἐν Θρᾴκῃ κρατηθεὶς ὑπὸ Δρομαχέτου, καὶ διὰ δίψαν ἑαυτὸν καὶ τὸ στράτευμα παραδοὺς, ὡς ἔπιεν αἰχμάλωτος γενόμενος, Ὦ θεοὶ, εἶπεν, ὡς μικρᾶς ἡδονῆς ἕνεκα δοῦλον ἐμαυτὸν ἐκ βασιλέως πεποίηκα.

2. Πρὸς δὲ Φιλιππίδην τὸν κωμῳδοποιὸν φίλον ὄντα καὶ συνήθη, Τίνος σοι, εἶπε, τῶν ἐμῶν μεταδῶ; κἀκεῖνος, Οὗ βούλει, πλὴν τῶν ἀπορρήτων.

ἈΝΤΙΟ'ΧΟΥ ΤΟΥ ΤΡΙ'ΤΟΥ.

1. Ἀντίοχος ὁ τρίτος ἔγραψε ταῖς πόλεσιν, ἄν τι γράψῃ παρὰ τοὺς νόμους κελεύων γενέσθαι, μὴ προσέχειν ὡς ἠγνοηκότι.

1. Τὴν δὲ τῆς Ἀρτέμιδος ἱέρειαν ἰδὼν ὑπερβολῇ καλὴν φανεῖσαν, εὐθὺς ἀνέζευξεν ἐξ Ἐφέσου, φοβούμενος μὴ παρὰ γνώμην ἐκβιασθῇ πρᾶξαί τι τῶν οὐχ ὁσίων.

Ministerio de Educación, Cultura y Deporte

## ΠΥ'ΡΡΟΥ Η'ΠΕΙΡΟ'ΤΟΥ.

1. Πύῤῥον οἱ υἱοὶ παῖδες ὄντες ἠρώτων τίνι καταλείψει τὴν βασιλείαν· καὶ ὁ Πύῤῥος εἶπεν, Ὃς ἂν ὑμῶν ὀξυτέραν ἔχῃ τὴν μάχαιραν.

2. Ἐρωτηθεὶς δὲ πότερον Πύθων ἢ Καφείσιος αὐλητὴς ἀμείνων, Πολυπέρχης, ἔφη, ὁ στρατηγός.

3 Ἐπεὶ δὲ συμβαλὼν Ῥωμαίοις δὶς ἐνίκησε, πολλοὺς τῶν φίλων καὶ τῶν ἡγεμόνων ἀπολέσας, Ἂν ἔτι μίαν, ἔφη, μάχην Ῥωμαίους νικήσωμεν, ἀπολώλαμεν.

4. Ἐπεὶ δὲ Σικελίας ἀποτυχὼν ἐξέπλει, μεταστραφεὶς ὀπίσω πρὸς τοὺς φίλους, Οἵαν, ἔφη, Ῥωμαίοις καὶ Καρχηδονίοις ἀπολείπομεν παλαίστραν;

## Α'ΝΤΙΟ'ΧΟΥ.

Ἀντίοχος ὁ στρατεύσας δεύτερον ἐπὶ Πάρθους, ἔν τινι κυνηγεσίῳ καὶ διωγμῷ, τῶν φίλων καὶ θεραπόντων ἀποπλανηθεὶς, εἰς ἔπαυλιν πενήτων ἀνθρώπων ἀγνοούμενος εἰσῆλθε· καὶ παρὰ τὸ δεῖπνον ἐμβαλὼν λόγον περὶ τοῦ βασιλέως, ἤκουσεν ὅτι τἄλλα χρηστός ἐστιν, φίλοις δὲ μοχθηροῖς ἐπιτρέπων τὰ πλεῖστα παρορᾷ, καὶ πολλάκις ἀμελεῖ τῶν ἀναγκαίων διὰ τὸ λίαν φιλόθηρος εἶναι. Τότε μὲν οὖν ἐσιώπησεν· ἅμα δὲ ἡμέρᾳ, τῶν δορυφόρων παραγενομένων ἐπὶ τὴν ἔπαυλιν, φανερὸς γενόμενος προσφερομένης τῆς πορφύρας αὐτῷ καὶ τοῦ διαδήματος· Ἀλλὰ ἀφ᾽ ἧς, εἶπεν, ἡμέρας ὑμᾶς ἀνείληφα, πρῶτον ἐχθὲς ἀληθινῶν λόγων ἤκουσα περὶ ἐμαυτοῦ.

Ministerio de Educación, Cultura y Deporte

## ΘΕΜΙΣΤΟΚΛΕΟΥΣ.

1. Θεμιστοκλῆς ἔτι μειράκιον ὢν, ἐν πότοις ἐκυλινδεῖτο καὶ γυναιξίν· ἐπεὶ δὲ Μιλτιάδης στρατηγῶν ἐνίκησεν ἐν Μαραθῶνι τοὺς βαρβάρους, οὐκ ἔτι ἦν ἐντυχεῖν ἀτακτοῦντι Θεμιστοκλεῖ. Πρὸς δὲ τοὺς θαυμάζοντας τὴν μεταβολὴν, ἔλεγεν ὡς, Οὐκ ἐᾷ με καθεύδειν οὐδὲ ῥαθυμεῖν τὸ Μιλτιάδου τρόπαιον.

2. Ἐρωτηθεὶς δὲ πότερον Ἀχιλλεὺς ἐβούλετ' ἂν ἢ Ὅμηρος εἶναι, Σὺ δ' αὐτὸς, ἔφη, πότερον ἤθελες, ὁ νικῶν ἐν Ὀλυμπιάσιν, ἢ ὁ κηρύσσων τοὺς νικῶντας εἶναι;

3. Τοῦ δὲ Σεριφίου πρὸς αὐτὸν εἰπόντος, ὡς οὐ δι' αὐτὸν, ἀλλὰ διὰ τὴν πόλιν, ἔνδοξός ἐστιν, Ἀληθῆ λέγεις, εἶπεν, ἀλλ' οὔτ' ἂν ἐγὼ Σερίφιος ὢν ἐγενόμην ἔνδοξος, οὔτε σὺ Ἀθηναῖος.

4. Πρὸς δὲ Σιμωνίδην ἐξαιτούμενον τινὰ κρίσιν οὐ δικαίαν, ἔφη μήτ' ἂν ἐκεῖνον γενέσθαι ποιητὴν ἀγαθὸν, ᾄδοντα παρὰ μέλος· μήτ' αὐτὸν ἄρχοντα χρηστὸν, δικάζοντα παρὰ τὸν νόμον.

5. Τὸν δὲ υἱὸν ἐντρυφῶντα τῇ μητρὶ, πλεῖστον Ἑλλήνων ἔλεγε δύνασθαι· τῶν γὰρ Ἑλλήνων ἄρχειν Ἀθηναίους· Ἀθηναίων δὲ, ἑαυτόν· ἑαυτοῦ δὲ, τὴν ἐκείνου μητέρα· τῆς δὲ μητρὸς, ἐκεῖνον.

6. Τῶν δὲ τὴν θυγατέρα μνωμένων αὐτοῦ, τὸν ἐπιεικῆ τοῦ πλουσίου προτιμήσας, ἄνδρα ἔφη ζητεῖν χρημάτων δεόμενον μᾶλλον, ἢ χρήματα ἀνδρός.

7. Χωρίον δὲ πωλῶν, ἐκέλευσε κηρύττειν ὅτι καὶ γείτονα χρηστὸν ἔχει.

8. Τῶν

Ministerio de Educación, Cultura y Deporte

8. Τῶν δὲ Ἀθηναίων αὐτὸν προπηλακιζόντων, Τί κοπιᾶτε, εἶπεν, ὑπὸ τῶν αὐτῶν πολλάκις εὐεργετούμενοι; Καὶ ταῖς πλατάνοις ἀπείκαζεν αὑτὸν, αἷς ὑποτρέχουσι χειμαζόμενοι, γενομένης δὲ εὐδίας τίλλουσι παρερχόμενοι καὶ λοιδοροῦσι.

9. Πολλῶν δὲ δωρεῶν ἀξιωθεὶς, καὶ ταχὺ πλούσιος γενόμενος, πρὸς τοὺς παῖδας εἶπεν, Ὦ παῖδες, ἀπωλόμεθ' ἂν, εἰ μὴ ἀπολώλειμεν.

## ἈΡΙΣΤΕΊΔΟΥ.

Τῶν Ἀθηναίων ὁρμωμένων ἐπὶ τὸν ἐξοστρακισμὸν, ἄνθρωπος ἀγράμματος καὶ ἄγροικος ὄστρακον ἔχων προσῆλθεν αὐτῷ κελεύων ἐγγράψαι τὸ ὄνομα τοῦ Ἀριστείδου· Γινώσκεις γὰρ, ἔφη, τὸν Ἀριστείδην; Τοῦ δὲ ἀνθρώπου γινώσκειν μὲν οὐ φήσαντος, ἄχθεσθαι δὲ τῇ τοῦ δικαίου προσηγορίᾳ· σιωπήσας ἐνέγραψε τὸ ὄνομα τῷ ὀστράκῳ, καὶ ἀπέδωκεν.

## ΠΕΡΙΚΛΕΌΥΣ.

1. Περικλῆς ὁπότε μέλλοι στρατηγεῖν, ἀναλαμβάνων τὴν χλαμύδα, πρὸς ἑαυτὸν ἔλεγεν, Πρόσεχε, Περίκλεις· ἐλευθέρων μέλλεις ἄρχειν, Ἑλλήνων καὶ Ἀθηναίων.

2. Πρὸς δὲ φίλον τινὰ μαρτυρίας ψευδοῦς δεόμενον, ᾗ προσῆν καὶ ὅρκος, ἔφησε μέχρι τοῦ βωμοῦ φίλος εἶναι.

3. Μέλλων δὲ ἀποθνήσκειν, αὐτὸς ἑαυτὸν ἐμακάριζεν ὅτι μηδεὶς Ἀθηναίων μέλαν ἱμάτιον δι' αὐτὸν ἐνεδύσατο.



Ministerio de Educación, Cultura y Deporte

ΑΛΚΙΒΙΑ'ΔΟΥ.

Προσελθὼν διδασκαλείῳ ῥαψῳδίαν Ἰλιάδος ᾔτει. Τοῦ δὲ διδασκάλου μηδὲν ἔχειν Ὁμήρου φήσαντος, ἐντρίψας αὐτῷ κόνδυλον παρῆλθεν.

ΛΑΜΑ'ΧΟΥ.

Λάμαχος ἐπετίμα τινὶ τῶν λοχαγῶν ἁμαρτόντι· τοῦ δὲ φήσαντος μηκέτι τοῦτο ποιήσειν, Οὐκ ἔστιν, εἶπεν, ἐν πολέμῳ δὶς ἁμαρτεῖν.

ἸΦΙΚΡΑ'ΤΟΥΣ.

Ῥήτορός τινος ἐπερωτῶντος αὐτὸν ἐν ἐκκλησίᾳ, Τίς ὢν μέγα φρονεῖς, πότερον ἱππεὺς, ἢ τοξότης, ἢ πελταστὴς, ἢ πεζός; Οὐδεὶς ἔφη, τούτων, ἀλλ', ὁ πᾶσι τούτοις ἐπιστάμενος ἐπιτάττειν.

ΤΙΜΟΘΕ'ΟΥ.

Τιμόθεος εὐτυχὴς ἐνομίζετο στρατηγὸς εἶναι· καὶ φθονοῦντες αὐτῷ τινες ἐζωγράφουν τὰς πόλεις εἰς κύρτον αὐτομάτως ἐκείνου καθεύδοντος ἐνδυομένας. Ἔλεγεν οὖν ὁ Τιμόθεος, Εἰ τηλικαύτας πόλεις λαμβάνω καθεύδων, τί με οἴεσθε ποιήσειν ἐγρηγορότα.

ΧΑΒΡΙ'ΟΥ.

1. Χαβρίας ἔλεγε κάλλιστα στρατηγεῖν τοὺς μάλιστα γινώσκοντας τὰ τῶν πολεμίων.

2. Εἰώθει δὲ λέγειν ὅτι φοβερώτερόν ἐστιν ἐλάφων στρατόπεδον, ἡγουμένου λέοντος, ἢ λεόντων, ἐλάφου.

ΦΩΚΙ'ΩΝΟΣ Α'ΘΗΝΑΙ'ΟΥ.

1. Φωκίων ὁ Ἀθηναῖος ὑπ' οὐδενὸς οὔτε γελῶν ὤφθη, οὔτε δακρύων.

Ministerio de Educación, Cultura y Deporte

2. Δημοσθένους δὲ τοῦ ῥήτορος εἰπόντος, Ἀποκτενοῦσί σε Ἀθηναῖοι, ἐὰν μανῶσι· Ναὶ εἶπεν, ἐμὲ μὲν, ἂν μανῶσι· σὲ δὲ, ἂν σωφρονῶσιν.

3. Ἀξιοῦντος δὲ Ἀντιπάτρου ποιῆσαί τι τῶν μὴ δικαίων αὐτὸν, Οὐ δύνασαι, εἶπεν, Ἀντίπατρε, καὶ φίλῳ Φωκίωνι χρῆσθαι καὶ κόλακι.

4. Τῶν δὲ μελλόντων συναποθνήσκειν ἑνὸς ὀδυρομένου καὶ ἀγανακτοῦντος, Οὐκ ἀγαπᾷς, εἶπεν, ὦ Εὔιππε, μετὰ Φωκίωνος ἀποθανούμενος;

5. Ἤδη δὲ τῆς κύλικος αὐτῷ προσφερομένης, ἐρωτηθεὶς εἴ τι λέγει πρὸς τὸν υἱόν· Ἐγώ σοι, εἶπεν, ἐντέλλομαι καὶ παρακαλῶ μηδὲν Ἀθηναίοις μνησικακεῖν.

## ΔΗΜΗΤΡΙΟΥ ΦΑΛΗΡΕΩΣ.

Δημήτριος ὁ Φαληρεὺς Πτολεμαίῳ τῷ βασιλεῖ παρῄνει τὰ περὶ βασιλείας καὶ ἡγεμονίας βιβλία κτᾶσθαι καὶ ἀναγινώσκειν· ἃ γὰρ οἱ φίλοι τοῖς βασιλεῦσιν οὐ θαῤῥοῦσι παραινεῖν, ταῦτα ἐν τοῖς βιβλίοις γέγραπται.

## ΛΥΚΟΥΡΓΟΥ.

Πρὸς τὸν κελεύοντα ποιεῖν ἐν τῇ πόλει δημοκρατίαν, Σὺ πρῶτος, εἶπεν, ἐν τῇ οἰκίᾳ σου ποίησον δημοκρατίαν.

## ΧΑΡΙΛΛΟΥ.

1. Χάριλλος ὁ βασιλεὺς ἐρωτηθεὶς διὰ τί νόμους ὀλίγους οὕτω Λυκοῦργος ἔθηκεν; ἀπεκρίνατο τοὺς χρωμένους ὀλίγοις λόγοις μὴ δεῖσθαι νόμων πολλῶν.



Ministerio de Educación, Cultura y Deporte -

2. Πρὸς δὲ τὸν πυθόμενον διὰ τί κομῶσιν; εἶπεν ὅτι τῶν κόσμων ἀδαπανώτατος οὗτός ἐστι.

ΑΓΙΔΟΣ.

1. Ἆγις ὁ βασιλεὺς οὐκ ἔφη τοὺς Λακεδαιμονίους ἐρωτᾷν πόσοι εἰσὶν, ἀλλὰ ποῦ εἰσιν οἱ πολέμιοι.

2. Ἐν δὲ Μαντινέᾳ κωλυόμενος διαμάχεσθαι τοῖς πολεμίοις πλείοσιν οὖσιν, εἶπεν, Ἀνάγκη πολλοῖς μάχεσθαι τὸν ἄρχειν πολλῶν βουλόμενον.

3. Πρὸς δὲ ἄνθρωπον πονηρὸν ἐρωτῶντα πολλάκις τίς ἄριστος εἴη Σπαρτιατῶν, εἶπεν, Ὁ τοῦ σοῦ ἀνομοιότατος.

ΛΥΣΑΝΔΡΟΥ.

1. Λύσανδρος, Διονυσίου τοῦ τυράννου πέμψαντος ἱμάτια ταῖς θυγατράσιν αὐτοῦ τῶν πολυτελῶν, οὐκ ἔλαβεν, εἰπὼν δεδιέναι μὴ διὰ ταῦτα μᾶλλον αἰσχραὶ φανῶσιν.

2. Πρὸς δὲ τοὺς ψέγοντας αὐτὸν ἐπὶ τῷ δι' ἀπάτης τὰ πολλὰ πράττειν ὡς ἀνάξιον τοῦ Ἡρακλέους, ἔλεγεν ὅπου μὴ ἐφικνεῖται ἡ λεοντῆ, προσραπτέον εἶναι ἐκεῖ τὴν ἀλωπεκῆν.

ΑΓΗΣΙΛΑΟΥ.

1. Εἰθισμένων τινῶν τὸν Περσῶν βασιλέα μέγαν προσαγορεύειν, Τί δὲ ἐκεῖνος, εἶπεν, ἐμοῦ μείζων, εἰ μὴ δικαιότερος καὶ σωφρονέστερος;

2. Ἀποθνήσκων δὲ τοὺς φίλους ἐκέλευσε μηδεμίαν πλαστὰν μηδὲ μιμηλὰν ποιήσασθαι, τὰς εἰκόνας οὕτω προσαγορεύων. Εἰ γάρ τι καλὸν ἔρ-

γον πεποίηκα, τοῦτό μου μνημεῖόν ἐστι· εἰ δὲ μηδὲν, οὐδ᾽ οἱ πάντες ἀνδριάντες.

## ΑΡΧΙΔΑΜΟΥ.

Ἀρχίδαμος ὁ Ἀγησιλάου καταπελτικὸν ἰδὼν βέλος τότε πρῶτον ἐκ Σικελίας κομισθὲν, ἀνεβόησεν, Ὦ Ἡράκλεις, ἀπόλωλεν ἀνδρὸς ἀρετά.

## ΚΛΕΟΜΕΝΟΥΣ.

Κλεομένης πρὸς τὸν ὑπισχνούμενον αὐτῷ δώσειν ἀλεκτρυόνας ἀποθνήσκοντας ἐν τῷ μάχεσθαι, Μὴ σύγε, εἶπεν, ἀλλὰ δός μοι τοὺς καταπτείνοντας ἐν τῷ μάχεσθαι.

## ΠΑΙΔΑΡΕΤΟΥ.

Παιδάρετος οὐκ ἐγκριθεὶς εἰς τοὺς τριακοσίους, ἥτις ἦν ἐν τῇ πόλει πρωτεύουσα τιμὴ τῇ τάξει, ἱλαρὸς καὶ μειδιῶν ἀπῄει, χαίρειν λέγων εἰ τριακοσίους ἡ πόλις ἔχει πολίτας ἑαυτοῦ βελτίονας.

## ΕΥΔΑΙΜΟΝΙΔΟΥ.

1. Εὐδαιμονίδας ἰδὼν ἐν Ἀκαδημίᾳ Ξενοκράτην πρεσβύτερον ἤδη μετὰ τῶν μαθητῶν φιλοσοφοῦντα, καὶ πυθόμενος ὅτι τὴν ἀρετὴν ζητεῖ, Πότε οὖν, εἶπεν, αὐτῇ χρήσεται;

2. Πάλιν ἀκούσας φιλοσόφου διαλεχθέντος ὅτι μόνος ἀγαθὸς ὁ σοφός ἐστιν, Ὁ μὲν λόγος, ἔφη, θαυμαστὸς, ὁ δὲ λέγων οὐ πιστεύεται.

## ΑΝΤΑΛΚΙΔΟΥ.

1. Ἀνταλκίδας πρὸς τὸν Ἀθηναῖον ἀμαθεῖς ἀποκαλοῦντα τοὺς Λακεδαιμονίους, Μόνοι γοῦν,



Ministerio de Educación, Cultura y Deporte

εἶπεν, ἡμεῖς οὐδὲν μεμαθήκαμεν κακὸν παρ' ὑμῶν.

2. Ἑτέρου δὲ Ἀθηναίου πρὸς αὐτὸν εἰπόντος, Ἀλλὰ μὴν ἡμεῖς ἀπὸ τοῦ Κηφισοῦ πολλάκις ὑμᾶς ἐδιώξαμεν, Ἡμεῖς δὲ οὐδέποτε, εἶπεν, ὑμᾶς ἀπὸ τοῦ Εὐρώτα.

## ΕΠΑΜΙΝΩΝΔΟΥ.

1. Ἐπεὶ, Λακεδαιμονίων ἐπιστρατευομένων, ἀνεφέροντο χρησμοὶ τοῖς Θηβαίοις, οἱ μὲν ἧτταν, οἱ δὲ νίκην φράζοντες, ἐκέλευσε τοὺς μὲν ἐπὶ δεξιὰ τοῦ βήματος θεῖναι, τοὺς δὲ ἐπ' ἀριστερά. Τεθέντων δὲ πάντων, ἀναστὰς εἶπεν, Ἐὰν μὲν ἐθελήσητε τοῖς ἄρχουσι πείθεσθαι, καὶ τοῖς πολεμίοις ὁμόσε χωρεῖν, οὗτοι ὑμῖν εἰσιν οἱ χρησμοί, δείξας τοὺς βελτίονας· ἐὰν δὲ ἀποδειλιάσητε πρὸς τὸν κίνδυνον, ἐκεῖνοι, πρὸς τοὺς χείρονας εἰπών.

2. Ἥδιστον δὲ πάντων αὐτῷ τῶν γεγονότων καλῶν καὶ ἀγαθῶν εἶναι ἔλεγε τὸ, τῶν γειναμένων αὐτὸν τοῦ πατρὸς ζῶντος ἔτι καὶ τῆς μητρὸς, ἐν Λεύκτροις νικῆσαι Λακεδαιμονίους.

## ΠΕΛΟΠΙΔΟΥ.

1 Τῆς γυναικὸς, ἐπὶ μάχην ἐξιόντος αὐτοῦ, δεομένης σώζειν ἑαυτὸν, ἄλλοις ἔφη δεῖν τοῦτο παραινεῖν, ἄρχοντι δὲ καὶ στρατηγῷ, σώζειν τοὺς πολίτας.

2. Εἰπόντος δέ τινος τῶν στρατιωτῶν, Ἐμπεπτώκαμεν εἰς τοὺς πολεμίους, Τί μᾶλλον, εἶπεν, ἢ εἰς ἡμᾶς ἐκεῖνοι;

Ministerio de Educación, Cultura y Deporte

## ΜΑΝΙΟΥ ΚΟΥΡΙΟΥ.

1. Μάνιος Κούριος, ἐγκαλούντων αὐτῷ τινων ὅτι τῆς αἰχμαλώτου χώρας ὀλίγον ἑκάστῳ μέρος διένειμε, τὴν δὲ πολλὴν ἐποίησε δημοσίαν, ἐπηύξατο μηδένα γενέσθαι Ῥωμαίων ὃς ὀλίγην ἡγήσεται γῆν τὴν τρέφουσαν.

2. Σαμνιτῶν δὲ μετὰ τὴν ἧτταν ἀφικομένων πρὸς αὐτὸν καὶ χρυσίον διδόντων, ἔτυχεν ἐν χύτραις ἕψων γογγυλίδας. Ἀπεκρίνατο δὲ τοῖς Σαμνίταις μηδὲν χρυσίου δεῖσθαι τοιοῦτον δεῖπνον δειπνῶν· αὐτῷ δὲ βέλτιον εἶναι τοῦ χρυσίον ἔχειν τὸ κρατεῖν τῶν ἐχόντων.

## ΓΑΙΟΥ ΦΑΒΡΙΚΙΟΥ.

Ὑπατεύοντι τῷ Φαβρικίῳ προσέπεμψεν ἐπιστολὴν ὁ τοῦ Πύῤῥου ἰατρός, ἐπαγγελλόμενος, ἐὰν κελεύῃ, φαρμάκοις τὸν Πύῤῥον ἀποκτενεῖν. Ὁ δὲ Φαβρίκιος τὴν ἐπιστολὴν πρὸς Πύῤῥον ἔπεμψεν, αἰσθέσθαι κελεύσας διότι καὶ φίλων κάκιστός ἐστι κριτὴς καὶ πολεμίων.

## ΦΑΒΙΟΥ ΜΑΞΙΜΟΥ.

1. Ταραντίνους μὲν κατέχοντα φρουρᾷ τοῦ Ἀννίβαν πλὴν τῆς ἀκροπόλεως, ἀπαγαγὼν ποῤῥωτάτω δι' ἀπάτης, καὶ τὴν πόλιν ἑλὼν καὶ διαρπάσας, τοῦ γραμματέως ἐπερωτήσαντος τί περὶ τῶν ἱερῶν ἔγνωκεν ἀγαλμάτων, Ἀπολείπωμεν, ἔφη, Ταραντίνοις τοὺς θεοὺς κεχολωμένους.

2. Μάρκου δὲ Λιβίου τοῦ τὴν ἀκρόπολιν φρουροῦντος δι' ἑαυτὸν ἑαλωκέναι τὴν πόλιν λέγοντος,



Ministerio de Educación, Cultura y Deporte

οἱ μὲν ἄλλοι κατεγέλων. Ὁ δὲ Φάβιος εἶπεν, Ἀληθῆ λέγεις· εἰ γὰρ μὴ σὺ τὴν πόλιν ἀπέβαλες, οὐκ ἂν ἐγὼ ἀνέλαβον.

ΣΚΙΠΙΩΝΟΣ ΤΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ.

1. Σκιπίων δὲ ὁ πρεσβύτερος τὴν ἀπὸ τῶν στρατηγιῶν καὶ τῆς πολιτείας σχολὴν ἐν γράμμασι διατριβὴν ποιούμενος, ἔλεγεν, ὁπότε σχολάζοι πλείονα πράττειν.

2. Πολιορκῶν δὲ πόλιν βαθεῖαν ἧς ὑπερεφαίνετο ναὸς Ἀφροδίτης, ἐκέλευσεν ἐκεῖ τὰς ἐγγύας ὁμολογεῖν, ὡς εἰς τρίτην ἐν τῷ ἱερῷ τῆς Ἀφροδίτης ἀκουσόμενος τῶν διαδικούντων. Καὶ τοῦτ' ἐποίησεν ὡς προεῖπε, τῆς πόλεως ἁλούσης.

3. Ἀντιόχου δὲ τοῦ βασιλέως, μετὰ τὸ διαβῆναι Ῥωμαίους ἐπ' αὐτὸν εἰς Ἀσίαν, πέμψαντος πρὸς Σκιπίωνα περὶ διαλύσεως, Ἔδει πρότερον, εἶπεν, ἀλλὰ μὴ νῦν, ὁπότε καὶ τὸν χαλινὸν καὶ τὸν ἀναβάτην προσδέδεξαι.

4. Πετιλίου δὲ καὶ Κοΐντου πολλὰ πρὸς τὸν δῆμον αὐτοῦ κατηγορησάντων, εἰπὼν ὅτι τῇ σήμερον ἡμέρᾳ Καρχηδονίους καὶ Ἀννίβαν ἐνίκησεν, αὐτὸς μὲν ἔφη στεφανωσάμενος ἀναβαίνειν εἰς τὸ Καπιτώλιον θύσων, τὸν δὲ βουλόμενον τὴν ψῆφον ἐκέλευσε φέρειν περὶ αὐτοῦ· καὶ ταῦτα εἰπὼν, ἀνέβαινεν. Ὁ δὲ δῆμος ἐπηκολούθησεν, τοὺς κατηγόρους ἀπολιπὼν λέγοντας.

ΤΙΤΟΥ ΚΟΙΝΤΟΥ.

Φιλοποίμενι στρατηγῷ τῶν Ἀχαιῶν ἱππεῖς μὲν

Ministerio de Educación, Cultura y Deporte

πολλοὺς καὶ ὁπλίτας ἔχοντι, χρημάτων δὲ οὐκ εὐποροῦντι, παρασαλίζων ἔλεγεν ὅτι χεῖρας ἔχει Φιλοποίμην καὶ σκέλη, γαστέρα δὲ οὐκ ἔχει· καὶ γὰρ καὶ τῇ φύσει τοῦ σώματος ἦν ὁ Φιλοποίμην τοιοῦτος.

ΠΑΥ'ΛΟΥ ΑΙ'ΜΥΛΙ'ΟΥ.

1. Τὰς δὲ νυκτερινὰς φυλακὰς ἐκέλευε φυλάσσειν ἄνευ λόγχης καὶ ξίφους, ὅπως ἀμύνασθαι τοὺς πολεμίους ἀπεγνωκότες, μᾶλλον διαμαχοῦνται πρὸς τὸν ὕπνον.

2. Τεσσάρων δὲ παίδων ἀῤῥένων αὐτῷ γεγονότων, δύο μὲν πρότερον ἐτύγχανεν ἐκδεδωκὼς ἑτέροις θέσθαι, δυοῖν δὲ ὄντων ἐπὶ τῆς οἰκίας, ὁ μὲν ἡμέραις πέντε πρὸ τοῦ θριάμβου τεσσαρεσκαίδεκα γεγονὼς ἔτη ἀπέθανεν, ὁ δὲ ὕστερον πέντε τοῦ θριάμβου δωδεκαετής. Προελθὼν δὲ, τοῦ δήμου συναλγοῦντος αὐτῷ καὶ συμπενθοῦντος, νῦν ἔφη περὶ τῆς πατρίδος ἀδεὴς γεγονέναι καὶ ἀκίνδυνος, ὁπότε τὴν εὐτυχημάτων τὴν νέμεσιν εἰς τὸν οἶκον ἀπερεισαμένης τῆς τύχης, ὑπὲρ πάντων αὐτὸς ἀναδέδεκται.

ΚΑ'ΤΩΝΟΣ ΤΟΥ ΠΡΕΣΒΥΤΕ'ΡΟΥ.

1. Κάτων ὁ πρεσβύτερος ἐν τῷ δήμῳ τὴν ἀσωτίας καὶ πολυτελείας καθαπτόμενος εἶπεν, ὡς χαλεπόν ἐστι λέγειν πρὸς γαστέρα ὦτα μὴ ἔχουσαν, θαυμάζειν δὲ πῶς σώζεται πόλις ἐν ᾗ πωλεῖται πλείονος ἰχθὺς ἢ βοῦς.

2. Λοιδορῶν δέ ποτε τὴν ἐπιπολάζουσαν γυναικοκρατίαν, Πάντες, εἶπεν, ἄνθρωποι τῶν γυ-

Ministerio de Educación, Cultura y Deporte

ναικῶν ἄρχουσιν, ἡμεῖς δὲ πάντων ἀνθρώπων, ἡμῶν δὲ αἱ γυναῖκες.

3. Τῶν δὲ νέων ἔφη χαίρειν τοῖς ἐρυθριῶσι μᾶλλον ἢ τοῖς ὠχριῶσι.

4. Κάκιστον δὲ ἔλεγεν ἄρχοντα εἶναι τὸν ἄρχειν ἑαυτοῦ μὴ δυνάμενον.

5. Μάλιστα δὲ ἐνόμιζε δεῖν ἕκαστον ἑαυτὸν αἰδεῖσθαι· μηδένα γὰρ ἑαυτοῦ μηδέποτε χωρὶς εἶναι.

6. Πολλῶν δὲ ὁρῶν ἀνισταμένους ἀνδριάντας, Ἐμοῦ δὲ, ἔφη, ἐρωτᾶν βούλομαι μᾶλλον τοὺς ἀνθρώπους διὰ τί ἀνδριὰς οὐ κεῖται Κάτωνος, ἢ διὰ τί κεῖται.

7. Φείδεσθαι δὲ τῆς ἐξουσίας παρεκάλει τοὺς δυναμένους, ὅπως ἀεὶ παραμένῃ τὸ ἐξεῖναι.

8. Τοὺς δὲ τῆς ἀρετῆς τὴν τιμὴν ἀφαιροῦντας, ἔλεγε τὴν ἀρετὴν ἀφαιρεῖν τῆς νεότητος.

9. Τὸν δὲ τοὺς παραλίους ἀγροὺς πεπρακότα προσεποιεῖτο θαυμάζειν ὡς ἰσχυρότερον τῆς θαλάσσης· ἃ γὰρ ἐκείνη μόλις ἐπικλύζει, οὗτος ῥᾳδίως καταπέπωκε.

ΣΚΙΠΙΩΝΟΣ ΤΟΥ ΝΕΩΤΕΡΟΥ.

1. Ἀππίου Κλαυδίου περὶ τῆς τιμητικῆς ἀρχῆς ἁμιλλωμένου πρὸς αὐτὸν, καὶ λέγοντος ὅτι πάντας ὀνομαστὶ Ῥωμαίους αὐτὸς ἀσπάζεται, Σκιπίωνος ὀλίγου δεῖν ἀγνοοῦντος ἅπαντας, Ἀληθῆ λέγεις, εἶπεν, ἐμοὶ γὰρ οὐκ εἰδέναι πολλοὺς, ἀλλὰ ὑπὸ μηδενὸς ἀγνοεῖσθαι μεμέληκεν.

Ministerio de Educación, Cultura y Deporte

2. Ἀποδειχθεὶς δὲ τιμητὴς νεανίσκου μὲν ἀφείλετο τὸν ἵππον, ὅτι δεῖπνον πολυτελῶς ἐν ᾧ χρόνῳ Καρχηδὼν ἐπολεμεῖτο, μελίπηκτον εἰς σχῆμα τῆς πόλεως διαπλάσας, καὶ τοῦτο Καρχηδόνα προσειπὼν, προὔθηκε διαρπάσαι τοῖς παροῦσι· καὶ πυνθανομένου τοῦ νεανίσκου τὴν αἰτίαν δι᾽ ἣν ἀφῄρηται τὸν ἵππον, Ἐμοῦ γὰρ, ἔφη, πρότερος Καρχηδόνα διήρπασας.

3. Ἑτέρου δὲ θυρεὸν ἐπιδείξαντος εὖ κεκοσμημένον, Ὁ μὲν θυρεὸς, εἶπεν, ὦ νεανία, καλός· πρέπει δὲ Ῥωμαῖον ἄνδρα μᾶλλον ἐν τῇ δεξιᾷ τὰς ἐλπίδας ἔχειν ἢ τῇ ἀριστερᾷ.

## ΚΑΙΚΙΛΙΟΥ ΜΕΤΕΛΛΟΥ.

1. Καικίλιος Μέτελλος ὀχυρῷ χωρίῳ βουλευόμενος προσαγαγεῖν, εἰπόντος ἑκατοντάρχου πρὸς αὐτὸν ὡς ἐὰν δέκα μόνους ἀποβάλῃ, λήψεται τὸ χωρίον, ἠρώτησεν αὐτὸν εἰ βούλοιτο εἷς τῶν δέκα γενέσθαι.

2. Τῶν δὲ νεωτέρων τινὸς χιλιάρχου πυνθανομένου τί μέλλει ποιεῖν, Εἰ τοῦτον, ἔφη, συνειδέναι μοι τὸν χιτωνίσκον ἐνόμιζον, ἀποδυσάμενος ἂν αὐτὸν ἐπὶ τὸ πῦρ ἐπέθηκα.

## ΣΥΛΛΟΥ.

Σύλλας ὁ εὐτυχὴς ἀναγορευθεὶς τῶν μεγίστων εὐτυχιῶν ἐποιεῖτο δύο, τὴν Πίου Μετέλλου φιλίαν καὶ τὸ μὴ κατασκάψαι τὰς Ἀθήνας, ἀλλὰ φείσασθαι τῆς πόλεως.

Ministerio de Educación, Cultura y Deporte

## ΓΝ. ΠΟΜΠΗΙΟΥ.

1. Ἐπεὶ Φραάτης ὁ Πάρθων βασιλεὺς ἔπεμψε πρὸς αὐτὸν, ἀξιῶν ὅρῳ χρῆσθαι τῷ Εὐφράτῃ, μᾶλλον ἔφη χρῆσθαι Ῥωμαίους ὅρῳ πρὸς Πάρθους τῷ δικαίῳ.

2. Λευκίου δὲ Λευκούλλου μετὰ τὰς στρατείας ἀφεικότος αὐτὸν εἰς ἡδονὰς καὶ πολυτελῶς ζῶντος, τὸν δὲ Πομπήιον ὡς παρ' ἡλικίαν τοῦ πολλὰ πράσσειν ὀρεγόμενον ψέγοντος, μᾶλλον ἔφη γέροντι τὸ τρυφᾶν ἢ τὸ ἄρχειν εἶναι παρ' ἡλικίαν.

3. Νοσοῦντι δὲ αὐτῷ κίχλην ὁ ἰατρὸς λαβεῖν προσέταξεν· οἱ δὲ ζητοῦντες οὐχ εὗρον, ἦν γὰρ παρ' ὥραν. Ἔφη δέ τις εὑρεθήσεσθαι παρὰ Λευκούλλῳ δι' ἔτους τρεφομένας. Εἶτα, ἔφη, εἰ μὴ Λεύκουλλος ἐτρύφα, Πομπήιος οὐκ ἂν ἔζησε. Καὶ χαίρειν ἐάσας τὸν ἰατρὸν ἔλαβε τῶν εὐπορίστων.

4. Περὶ δὲ αὑτοῦ παρρησιαζόμενος εἶπεν ὡς πᾶσαν ἀρχὴν καὶ ἔλαβε θᾶσσον ἢ προσεδόκησε, καὶ καταθοῖτο θᾶσσον ἢ προσεδοκήθη.

## ΚΙΚΕΡΩΝΟΣ.

1. Κικέρων ὁ ῥήτωρ εἰς τοὔνομα σκωπτόμενος, καὶ τῶν φίλων μεταθέσθαι κελευόντων, ἔφη τὸν Κικέρωνα ποιήσειν τῶν Κατώνων καὶ τῶν Κατούλλων καὶ τῶν Σκαύρων ἐνδοξότερον.

2. Τῶν δὲ ῥητόρων τοὺς μέγα βοῶντας ἔλεγε δι' ἀσθένειαν ἐπὶ τὴν κραυγὴν ὡς χωλοὺς ἀναβαίνειν ἐφ' ἵππον.

Ministerio de Educación, Cultura y Deporte

3. Μετέλλου δὲ Νέπωτος εἰπόντος πρὸς αὐτὸν ὅτι πλείονας μαρτυρῶν ἀπέκτεινας ἢ συνηγορῶν σέσωκας, Καὶ γὰρ ἔστιν, ἔφη, πλεῖον ἐμοὶ πίστεως ἢ λογιότητος.

4. Γάϊον δὲ Πομπίλιον νομικὸν εἶναι βουλόμενον, ὄντα δὲ ἀμαθῆ καὶ ἀφυῆ, προσεκαλεῖτο μάρτυρα πρός τινα δίκην. Εἰπόντος δὲ ἐκείνου μηδὲν γινώσκειν, Οἴει γὰρ ἴσως, εἶπε, περὶ τῶν νομίμων ἐπερωτᾶσθαι.

5. Ὁρτηνσίου δὲ τοῦ ῥήτορος λαβόντος μισθὸν ἀργυρᾶν σφίγγα παρὰ τοῦ Βέρρου, καὶ πρὸς τὸν Κικέρωνα πλαγίως τι εἰπόντα φήσαντος αἰνιγμάτων λύσεως ἀπείρως ἔχειν, Καὶ μὴν ἡ σφίγξ, ἔφη, παρά σοί ἐστιν.

6. Φαύστου δὲ τοῦ Σύλλα παιδὸς διὰ πλῆθος δανείων ἀπάρτιον προγράψαντος, Ταύτην μᾶλλον, ἔφη, τὴν προγραφὴν ἀσπάζομαι, ἢ τὴν πατρῴαν αὐτοῦ.

7. Μετὰ δὲ τὴν ἐν Φαρσάλῳ μάχην Πομπηΐου μὲν φυγόντος, Νονίου δέ τινος ἔτι παρ' αὐτοῖς ἀετοὺς ἑπτὰ φήσαντος εἶναι, καὶ διὰ τοῦτο θαρρεῖν παρακαλοῦντος, Καλῶς ἂν παρῄνεις, εἶπεν, εἰ κολοιοῖς ἐπολεμοῦμεν.

8. Ἐπεὶ δὲ Καῖσαρ κρατήσας τὰς Πομπηΐου καταβεβλημένας εἰκόνας ἀνέστησε μετὰ τιμῆς, ἔφη περὶ αὐτοῦ λέγων ὁ Κικέρων, ὅτι τοὺς Πομπηΐου Καῖσαρ ἱστὰς ἀνδριάντας, τοὺς ἑαυτοῦ πήγνυσιν.

9. Οὕτω δὲ πολλοῦ τὸ καλῶς λέγειν ἐπιμα-

Ministerio de Educación, Cultura y Deporte

τε καὶ περὶ τοῦτο μάλιστα ἠγωνία, ὥστε, προκειμένης δίκης ἐπὶ τῶν ἑκατὸν ἀνδρῶν, ὡς ἐπικειμένης τῆς ἡμέρας, Ἔρωτα ἀπαγγείλαντα αὐτῷ οἰκέτην εἰς τὴν ἐπιοῦσαν ὑπερτεθῆναι τὴν δίκην, ἠλευθέρωσεν.

## ΓΑΪΟΥ ΚΑΙΣΑΡΟΣ.

1. Πομπηΐαν τὴν γυναῖκα κακῶς ἀκούσασαν ἐπὶ Κλωδίῳ παραιτησάμενος, εἶτα, τοῦ Κλωδίου φεύγοντος ἐπὶ τούτῳ δίκην, μάρτυς εἰσαχθεὶς οὐδὲν εἶπε φαῦλον περὶ τῆς γυναικός· Ἐρομένου δὲ τοῦ κατηγόρου, Διὰ τί τοίνυν ἐξέβαλες αὐτήν; Ὅτι τὴν Καίσαρος, ἔφη, γυναῖκα καὶ διαβολῆς δεῖ καθαρὰν εἶναι.

2. Τὰς δὲ Ἀλεξάνδρου πράξεις ἀναγινώσκων ἐδάκρυσε, καὶ πρὸς τοὺς φίλους εἶπεν, Ὅτι ταύτην τὴν ἡλικίαν ἔχων ἐνίκησε Δαρεῖον, ἐμοὶ δὲ μέχρι νῦν οὐδὲν πέπρακται.

3. Πολίχνιον δὲ αὐτοῦ λυπρὸν ἐν ταῖς Ἄλπεσι παρερχομένου, καὶ τῶν φίλων διαπορούντων εἰ καὶ ἐνταῦθά τινες στάσεις εἰσὶν καὶ ἅμιλλαι περὶ πρωτείων, ἐπιστὰς καὶ σύννους γενόμενος, Μᾶλλον ἄν, ἔφη, ἐβουλόμην πρῶτος ἐνταῦθα εἶναι ἢ δεύτερος ἐν Ῥώμῃ.

4. Τῶν δὲ τολμημάτων τὰ παράβολα καὶ μεγάλα πράττειν ἔφη δεῖν, ἀλλὰ μὴ βουλεύεσθαι.

5. Καὶ διέβη Ῥουβίκωνα ποταμὸν ἐκ τῆς Γαλατικῆς ἐπαρχίας ἐπὶ Πομπήϊον, εἰπὼν Πᾶς ἀνερρίφθω κύβος.

Ministerio de Educación, Cultura y Deporte

6. Τῶν δὲ στρατιωτῶν αὐτῷ βραδέως εἰς Δυῤῥάχιον ἐκ Βρεντεσίου κομιζομένων, λαθὼν ἅπαντας εἰς πλοῖον μικρὸν ἐμβὰς ἐπεχείρησε διαπλεῖν τὸ πέλαγος. Συγκλυζομένου δὲ τοῦ πλοίου, ποιήσας τῷ κυβερνήτῃ φανερὸν ἑαυτὸν ἀνεβόησε, Πίστευε τῇ τύχῃ, γνοὺς ὅτι Καίσαρα κομίζεις.

7. Φαρνάκην νικήσας τὸν Ποντικὸν ἐξ ἐφόδου, πρὸς τοὺς φίλους ἔγραψε, Ἦλθον, εἶδον, ἐνίκησα.

8. Μετὰ δὲ τὴν ἐν Λιβύῃ τῶν περὶ τὸν Σκιπίωνα φυγὴν καὶ ἧτταν, Κάτωνος αὑτὸν ἀνελόντος, Φθονῶ σοι, Κάτων, εἶπεν, τοῦ θανάτου, καὶ γὰρ σὺ ἐμοὶ τῆς σῆς σωτηρίας ἐφθόνησας.

9. Ἀντώνιον καὶ Δολαβέλλαν ὑφορωμένων ἐνίων καὶ φυλάττεσθαι κελευόντων, οὐ τούτους ἔφη δεδιέναι τοὺς βαναύσους καὶ λιπῶντας, ἀλλὰ τοὺς ἰσχνοὺς καὶ ὠχροὺς ἐκείνους, δείξας Βροῦτον καὶ Κάσσιον. Λόγου δὲ παρὰ δεῖπνον ἐμπεσόντος περὶ θανάτου, ποῖος ἄριστος; Ὁ ἀπροσδόκητος, εἶπε.

## ΚΑΊΣΑΡΟΣ ΤΟΥ͂ ΣΕΒΑΣΤΟΥ.

1. Ἀθηνοδώρῳ τῷ φιλοσόφῳ διὰ γῆρας εἰς οἶκον ἀφεθῆναι δεηθέντι συνεχώρησεν. Ἐπεὶ δὲ ἀσπασάμενος αὐτὸν ὁ Ἀθηνόδωρος εἶπεν, Ὅταν ὀργισθῇς, Καῖσαρ, μηδὲν εἴπῃς μηδὲ ποιήσῃς πρότερον ἢ τὰ εἴκοσι καὶ τέτταρα γράμματα διελθεῖν πρὸς ἑαυτόν· ἐπιλαβόμενος αὐτοῦ τῆς χειρὸς, Ἔτι σου παρόντος, ἔφη, χρείαν ἔχω· καὶ κατέσχεν αὐτὸν ὅλον ἐνιαυτὸν, εἰπὼν ὅτι ἔστι καὶ σιγῆς ἀκίνδυνον γέρας.

Ministerio de Educación, Cultura y Deporte

2. Ἀκούσας δὲ ὅτι Ἀλέξανδρος δύο καὶ τριάκοντα γεγονὼς ἔτη κατεστραμμένος τὰ πλεῖστα διηπόρει τί ποιήσει τὸν λοιπὸν χρόνον, ἐθαύμαζεν εἰ μὴ μεῖζον Ἀλέξανδρος ἔργον ἡγεῖτο τοῦ κτήσασθαι μεγάλην ἡγεμονίαν τὸ διατάξαι τὴν ὑπάρχουσαν.

3. Γάϊον δὲ τὸν θυγατριδοῦν εἰς Ἀρμενίαν ἀποστέλλων ᾐτεῖτο παρὰ τῶν Θεῶν εὔνοιαν αὐτῷ τὴν Πομπηΐου, τόλμαν δὲ τὴν Ἀλεξάνδρου, τύχην δὲ τὴν ἑαυτοῦ παρακολουθῆσαι.

4. Θορυβοῦντας δὲ τοὺς ἐν ἀξιώμασι νέους καταστεῖλαι βουλόμενος, ὡς οὐ προσεῖχον ἀλλ' ἐθορύβουν, Ἀκούσατε, εἶπεν, νέοι γέροντος, οὗ νέου γέροντες ἤκουον.

5. Πείσωνος δὲ τὴν οἰκίαν ἐκ θεμελίων ἄχρι πάσης στέγης ἐπιμελῶς οἰκοδομοῦντος, Εὔθυμον, ἔφη, με ποιεῖς οὕτως οἰκοδομῶν ὡς ἀϊδίου τῆς Ῥώμης ἐσομένης.

ΤΕΛΟΣ.

Ministerio de Educación, Cultura y Deporte

# ΤΑ ΕΚΛΕΚΤΑ ΕΚ ΤΩΝ ΣΥΓΓΡΑΦΕΩΝ, ΤΩΝ ΙΕΡΩΝ, ΤΩΝ ΑΝΙΕΡΩΝ.

*OU*

# HISTOIRES CHOISIES DES AUTEURS GRECS,

*SACRÉS & PROFANES.*

## PREMIERE PARTIE.

*Par M. GERMAIN, Professeur Émérite en l'Université de Paris.*

Graiis ingenium, Graiis dedit ore rotundo
Musa Loqui, præter laudem nullius avaris
. . . . . . . . . . . . . . . . . . . . . . .
. . . . . . . . . . . . . . . . . . . . . . . . . . . .
Vos Exemplaria Græca
Nocturnâ versate manu, versate diurnâ.
*Hor. Art. Poet.*

*A PARIS,*

Chez BARBOU, rue des Mathurins;

*ET*

Chez L'AUTEUR, Carré Sainte Génevieve, Nº. 4.

M DCC LXXXVI.

*AVEC APPROBATION ET PRIVILEGE.*

Ministerio de Educación, Cultura y Deporte

*Cet Ouvrage est divisé en deux Parties.*

La premiere Partie comprend trois Livres.

Le I. Sur la Divinité.

Le II. Sur la Prudence.

Le III. Sur la Justice.

La seconde Partie comprend deux Livres.

Le I. Sur la force, ou grandeur d'ame.

Le II. Sur la Tempérance.

Pour la commodité, chaque Livre se vendra séparément, & contiendra 70 à 80 pages.

Les Livres qui seront trop étendus, comme le III. de la premiere Partie, & les deux de la II. Partie, seront sousdivisés en plusieurs parties, dont chacune sera également de 70 à 80 pages.

Chaque Livre, en brochure, de 70 à 80 pages, & chaque partie de Livre, en brochure, aussi de 70 à 80 pages, *Prix* 1 liv. 4 sols.

Ministerio de Educación, Cultura y Deporte

# PRÉFACE.

Je n'entreprends point d'inférer dans cet Ouvrage tous les traits d'Histoire ou de Morale qui se rencontrent à chaque page dans un Auteur. Ce seroit un champ si vaste, que je pourrois dire avec ce célebre Fabuliste, Affranchi d'Auguste :

. . . . materiæ tanta abundat copia
Labori Faber ut desit, non Fabro labor.

Mon plan est celui du Selectæ latin, que je suis pas-à-pas, autant qu'il m'est possible ; & mon but est de faire expliquer plusieurs Auteurs, qui ne tiennent pas le dernier rang.

On dira peut-être que j'ai puisé dans d'autres, qui sont à peine connus. Cela est vrai. Mais comme je viens de le dire, le Selectæ latin est mon guide, je suis nécessité de prendre dans les Auteurs plus ou moins célebres.

Je ne m'amuserai point à démontrer l'utilité de cet Ouvrage par la morale qu'il renferme : je ne ferois que répéter à ce sujet la longue dissertation qui est dans la Préface de l'Ouvrage latin. Je dirai seulement qu'il a un double avantage ; l'un de mettre sous les yeux ce qu'il y a de plus intéressant dans chaque Auteur ; & par-là de faire connoître ceux qui n'ont pas encore été expliqués ; l'autre de réveiller l'attention & piquer la curiosité par la diversité des sujets ; je pourrois en ajouter un troisieme ; c'est ce mêlange de Prose & de Poésie, variété qui plaît beaucoup plus qu'une monotonie continuelle.

J'ose me flatter que l'on ne trouvera pas mauvais si je me suis trop étendu sur des sujets qui ne paroissent point analogues à l'intitulé du Chapitre. Par exemple, dans celui où il est dit que les impies ou méchans sont tôt ou tard punis, après avoir cité un ou deux exemples pour prouver cette vérité, j'ai mis à la suite la description que Lucien fait d'un lieu ou d'une Isle, où ils souffrent les tourmens les plus affreux.

Ministerio de Educación, Cultura y Deporte

Et je l'ai terminé par deux passages de l'Ecriture sainte, où il est parlé de l'Enfer... Dans un autre concernant les Temples, comme on ne trouve que dans des Auteurs latins ce qui est analogue à ce sujet, j'ai été forcé de faire un long circuit; & j'ai encore pris dans le même Auteur ce qui a donné lieu à ces monumens consacrés à la Religion, & j'ai rapporté le miracle fabuleux de Deucalion; ensuite la description d'un temple célebre, avec certaines cérémonies qui ont rapport avec les nôtres; & ce Chapitre est de même terminé par deux passages de l'Ecriture sainte. Je me suis encore plus étendu, pour prouver combien étoit fausse l'idée que les anciens avoient de la Divinité, dans les sacrifices qu'ils lui faisoient, & que le culte qu'ils lui rendoient, n'étoit qu'ignorance & superstition. Enfin dans un troisieme, au sujet des vœux que l'on doit former, pour prouver que nous ne les faisons pas avec raison, mais comme des insensés, j'ai pris dans Platon la moitié du Dialogue où ce Philosophe introduit pour interlocuteurs Socrate & Alcibiade.

Comme cet Ouvrage n'est que pour instruire, & sur-tout pour augmenter le nombre des Auteurs Grecs, on ne me fera pas un crime d'avoir mêlé le vrai avec le fabuleux; & le sacré avec le profane. Mon but, je le répete, c'est de faire entendre la plus belle & la plus riche de toutes les Langues; & le vrai moyen, c'est d'avoir continuellement les Auteurs entre les mains, & ne point se lasser de les expliquer.

. . . . . . vos Exemplaria Græca  
Nocturnâ versate manu, versate diurnâ.

J'aurois désiré de mettre plus de liaison dans les citations que j'ai faites. Mais comme ce sont des morceaux détachés, j'ai fait mon possible pour rapprocher ceux qui avoient plus de rapport les uns avec les autres. Je me croirai heureux d'avoir donné quelques années de travail à cet arrangement, s'il plaît à Dieu d'y répandre sa bénédiction pour le rendre utile à la jeunesse.

TA

Ministerio de Educación, Cultura y Deporte

# ΤΑ ΕΚΛΕΚΤΑ ΕΚ ΤΩΝ ΙΕΡΩΝ, ΤΩΝ ΑΝΙΕΡΩΝ.

# SELECTÆ *È SACRIS ET PROFANIS* HISTORIÆ.

## ΜΕΡΟΣ ΠΡΩΤΟΝ.

## ΠΡΩΤΟΝ ΒΙΒΛΙΟΝ ΠΕΡΙ ΤΟΥ ΘΕΟΥ.

### ΚΕΦΑΛΑΙΟΝ α.

Ὅστις ὦν ἀναλῦσαι οἷος τέ ἐντι πάντα τὰ γένεα ὑπὸ μίαν τε καὶ τὰν αὐτὰν ἀρχὰν, καὶ πάλιν συνθεῖναι τε καὶ συναριθμήσασθαι, οὗτος δοκεῖ μοι καὶ σοφώτατος ἦμεν καὶ παναλαθέστατος. Ἔτι δὲ καὶ καλὰν σκοπιὰν εὑρηκέναι ἀφ' ἇς δυνατὸς ἐσσεῖται τὸν Θεὸν κατοψεῖσθαι, καὶ πάντα ἐν τᾷ συστοιχείᾳ καὶ τάξει τὰ ἐκείνου κατακεχωρισμένα, καὶ ταύταν ἁρματήλατον ὁδὸν ἐκπορισάμενος, τῷ νόῳ κατ' εὐθεῖαν ὁρμαθῆναι καὶ τελοδρομῆσαι, τὰς

È Stob. Fragm. Pythag. Archyl. de Sap.



Ministerio de Educación, Cultura y Deporte

ἀρχὰς τοῖς πέρασι συνάπσαπσαντα, καὶ ἐπιγνόντα ὅτι ὁ Θεὸς ἀρχά τε καὶ τέλος, καὶ μέσον ἐστὶ πάντων τῶν κατὰ δίκαν τὲ καὶ τὸν ὀρθὸν λόγον περαινομένων.

Salluſt. Philoſ. de Diis c. 1. Τοὺς περὶ Θεῶν ἀκούειν ἐθέλοντας, δεῖ μὲν ἐκ παίδων ἦχθαι καλῶς, καὶ μὴ ἀνοήτοις συντρέφεσθαι δόξαις· δεῖ δὲ καὶ τὴν φύσιν ἀγαθοὺς εἶναι, καὶ ἔμφρονας, ἵνα ὀρθῶς προσέχωσι τοῖς λόγοις. Δεῖ δὲ αὐτοὺς καὶ τὰς κοινὰς ἐννοίας εἰδέναι· κοιναὶ δὲ εἰσιν ἔννοιαι, ὅσας πάντες ἄνθρωποι ἐρωτηθέντες ὁμολογήσουσιν· οἷον, ὅτι πᾶς Θεὸς ἀγαθὸς, ὅτι ἀπαθὴς, ὅτι ἀμετάβλητος· πᾶν γὰρ τὸ μεταβαλλόμενον, ἢ ἐπὶ τὸ κρεῖττον, ἢ ἐπὶ τὸ χεῖρον· καὶ εἰ μὲν ἐπὶ τὸ χεῖρον, κακύνεται· εἰ δὲ ἐπὶ τὸ κρεῖττον, τὴν ἀρχὴν ἦν κακόν.

(a) ἄθεως. ΚΑΙ' ζῶν ὁ φαῦλος (a) καὶ θανὼν κολάζεται.

Act. Apoſt. c. 5. v. 12. & ſeq. Διὰ τῶν χειρῶν τῶν Ἀποστόλων ἐγένετο σημεῖα καὶ τέρατα ἐν τῷ Λαῷ πολλά. Μᾶλλον δὲ προσετίθοντο πιστεύοντες τῷ Κυρίῳ πλήθη ἀνδρῶν τὲ καὶ γυναικῶν. Ἀναστὰς δὲ ὁ Ἀρχιερεὺς, καὶ πάντες οἱ σὺν αὐτῷ, ἐπλήσθησαν ζήλου, καὶ ἐπέβαλον τὰς χεῖρας αὐτῶν ἐπὶ τοὺς Ἀποστόλους, καὶ ἔθεντο αὐτοὺς ἐν τηρήσει δημοσίᾳ, καὶ διαπρίοντες ἐβουλεύοντο ἀνελεῖν

Ministerio de Educación, Cultura y Deporte

αὐτοὺς. Ἀνάστας δέ τις ἐν τῷ συνεδρίῳ Φαρισαῖος ὀνόματι Γαμαλιὴλ, νομοδιδάσκαλος τίμιος παντι τῷ Λαῷ, εἶπε πρὸς αὐτούς· Ἄνδρες Ἰσραηλῖται, προσέχετε ἑαυτοῖς αὐθι τοῖς ἀνθρώποις τούτοις τί μέλλετε πράσσειν. Πρὸ γὰρ τούτων τῶν ἡμερῶν ἀνέστη Θευδᾶς, λέγων εἶναί τινα ἑαυτὸν, ᾧ προσεκολλήθη ἀριθμὸς ἀνδρῶν ὡσεὶ τετρακοσίων. Ὃς ἀνῃρέθη, καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ, διελύθησαν, καὶ ἐγένοντο εἰς οὐδέν. Μετὰ τοῦτον ἀνέστη Ἰούδας ὁ Γαλιλαῖος ἐν ταῖς ἡμέραις τῆς ἀπογραφῆς, καὶ ἀπέστησε Λάον ἱκανὸν ὀπίσω αὐτοῦ· κἀκεῖνος ἀπώλετο, καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ διεσκορπίσθησαν.

Οἱ δὲ δὴ Ἐπικούρειοι Σοφῶν λεγόμενοι, Lucian. Icaromenip.
μάλα δὴ καὶ ὑβρισταί εἰσι, καὶ οὐ μετρίως ἡμῶν καθάπτονται, μήτε ἐπιμελεῖσθαι τῶν ἀνθρωπίνων λέγοντες τοὺς Θεοὺς, μήτε ὅλως τὰ γιγνόμενα ἐπισκοπεῖν. Ὥστε ὥρα ὑμῖν λογίζεσθαι. Διότι ἢν ἅπαξ οὗτοι πεῖσαι τὸν βίον δυνηθῶσιν, τίς ἂν ἔτι θυσειεν ὑμῖν, πλέον οὐδὲν ἕξειν προσδοκῶν; πρὸς ταῦτα, βουλεύεσθε, ἃ καὶ τοῖς ἀνθρώποις γένοιτ' ἂν ὠφελιμώτατα, καὶ ὑμῖν ἀσφαλέστατα· Εἰπόντος ταῦτα τοῦ Διὸς, ἡ Ἐκκλησία (τῶν Θεων) διετεθρύλλητο.



Ministerio de Educación, Cultura y Deporte

καὶ εὐθὺς ἐβόων ἅπαντες, κεραύνωσον, καταφλεξον, ἐπίτριψον ἐς τὸ βάραθρον, ἐς τὸν Τάρταρον, ὡς τοὺς Γίγαντας. Ἡσυχίαν δὲ ὁ Ζεὺς αὖθις παραγγείλας, ἔσται ταῦτα, ὡς βούλεσθε, ἔφη· ἐς νέωτα οὐν ἀρχομένου ἦρος, κακοὶ κακῶς ἀπολοῦνται τῷ σμερδαλέῳ κεραυνῷ.

Id. Phil. Μηδὲν εἴπης φλαῦρον Θεοῦ.

---

## ΚΕΦΑΛΑΙΟΝ β'.

Roma. ch. 1. v. 19 20. ΤΟ γνωστὸν τοῦ Θεοῦ, φανερόν ἐστι ἐν αὐτοῖς· ὁ γὰρ Θεὸς αὐτοῖς ἐφανέρωσε· τὰ γὰρ ἀόρατα αὐτοῦ, ἀπὸ κτίσεως Κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης.

Sallust. Philos. ch. 9. Πόθεν γὰρ ἡ τάξις τῷ Κοσμῳ, εἴπερ μηδὲν ἦν τὸ τάττον; πόθεν δὲ τὸ πάντα τινὸς ἕνεκα γίνεσθαι, οἷον ἄλογον μὲν πσυχὴν, ἵνα αἴσθησις ᾖ· λογικὴν δὲ, ἵνα κοσμῆται ἡ γῆ; Ἔστι δὲ καὶ ἐκ τῆς περὶ την φύσιν Προνοίας ἰδεῖν· τὰ μὲν γὰρ ὄμματα διαφανῆ πρὸς τὸ βλέπειν κατεσκεύασται· ἡ δὲ ῥὶς ὑπὲρ τὸ στόμα, διὰ τὸ κρίνειν τὰ δυσώδη· τῶν δὲ ὀδόντων οἱ μέσοι μὲν ὀξεῖς, διὰ τὸ τέμνειν· οἱ δὲ ἔνδον πλατεῖς, διὰ τὸ τρίβειν τὰ σιτία· καὶ πάντα δὲ ἐν πᾶσιν οὕτω κατὰ λόγον ὁρῶμεν.

Ministerio de Educación, Cultura y Deporte

Ἀδύνατον δὲ ἐν μὲν τοῖς ἐσχάτοις τοσαύτην εἶναι Πρόνοιαν, ἐν δὲ τοῖς πρώτοις μὴ εἶναι. Αἵτε ἐν τῷ Κόσμῳ μαντεῖαι, καὶ θεραπεῖαι σωμάτων γιγνόμεναι, τῆς ἀγαθῆς Προνοίας εἰσὶ τῶν Θεῶν. Τὴν δὲ τοιαύτην περὶ τὸν Κόσμον ἐπιμέλειαν οὐδὲν βουλομένους, οὐδὲ πονοῦντας τοὺς Θεοὺς ἡγητέον ποιεῖσθαι· ἀλλ᾽ ὥσπερ τῶν σωμάτων τὴν δύναμιν ἐχόντων, αὐτῷ τῷ εἶναι ποιεῖ, ἃ ποιεῖ. Οἷον Ἥλιος φωτίζει, καὶ θάλπει αὐτῷ μόνῳ τῷ εἶναι· οὕτω πολὺ μᾶλλον ἡ τῶν Θεῶν Πρόνοια αὐτῇ τε ἀπόνως, καὶ τοῖς προνοουμένοις ἐπ᾽ ἀγαθῷ γίνεται.

Ἐκ δὲ τούτων καὶ ἡ περὶ Θυσιῶν, καὶ τῶν Id. c. 15. ἄλλων τῶν εἰς Θεοὺς γινομένων λέλυται ζήτησις. Αὐτὸ μὲν γὰρ τὸ Θεῖον ἀνενδεές. αἱ δὲ τιμαὶ τῆς ἡμετέρας ὠφελείας ἕνεκα γίνονται. Καὶ ἡ μὲν Πρόνοια τῶν Θεῶν διατείνει πανταχῆ, ἐπιτηδειότητος δὲ μόνον πρὸς ὑποδοχὴν δεῖται. Δι᾽ ὃ οἱ μὲν ναοὶ τὸν οὐρανὸν, οἱ δὲ βωμοὶ μιμοῦνται τὴν γῆν, τὰ δ᾽ ἀγάλματα τὴν ζωὴν, καὶ διὰ τοῦτο ζώοις ἀπείκασται, αἱ δὲ εὐχαὶ τὸ νοερὸν, οἱ δὲ χαρακτῆρες τὰς ἀρρήτους ἄνω δυνάμεις, βοτάναι δὲ καὶ λίθοι τὴν ὕλην, τὰ δὲ θυόμενα ζῶα τὴν ἐν ἡμῖν ἄλογον ζωήν. Ἐκ δὲ τούτων



Ministerio de Educación, Cultura y Deporte

ἁπάντων τοῖς μὲν Θεοῖς πλέον οὐδέν. τί γὰρ ἂν πλέον γένοιτο Θεῷ;

---

## ΚΕΦΑΛΑΙΟΝ γ΄.

Lucian. Icaromenip.

ΦΙΛΟΣΟΦΟΙΣ τοῖς πάλαι ἡ περὶ τῶν Θεῶν γνώμη διάφυρος. τοῖς μὲν ἀριθμός τις ὁ Θεὸς ἦν. οἱ δ᾽ κατὰ κυνῶν, καὶ χυνῶν, καὶ πλατάνων ἐπόμνυντο· καὶ οἱ μὲν τοὺς ἄλλους ἅπαντας Θεοὺς ἀπελάσαντες, ἑνὶ μονῳ τὴν τῶν ὅλων ἀρχὴν ἀπένεμον· οἱ δ᾽ ἔμπαλιν ἐπιδαψιλευόμενοι, πολλοὺς τέ αὐτοὺς ἀπέφαινον. Τὸν μὲν τινα, πρῶτον Θεον ἐπεκάλουν· τοῖς δ᾽ τὰ δεύτερα, καὶ τρίτα ἔνεμον τῆς θεότητος. Ἔτι δὲ οἱ μὲν ἀσωματόν τι, καὶ ἄμορφον ἡγοῦντο εἶναι τὸ θειον. Οἱ δὲ, ὡς περὶ σώματος αὐτοῦ διενοοῦντο. Εἶτα καὶ προνοεῖν τῶν καθ᾽ ἡμᾶς πραγμάτων οὐ πᾶσιν ἐδόκουν οἱ Θεοὶ, ἀλλ᾽ ἦσάν τινες, οἱ τῆς συμπάσης ἐπιμελείας αὐτοὺς ἀφιέντες, ὥσπερ ἡμεῖς εἰώθαμεν ἀπολύειν τῶν λειτουργιῶν τοὺς παρηβηκότας. Οὐδὲν γὰρ ὅτι μὴ τοῖς κωμικοῖς δορυφορήμασιν ἐοικότας αὐτοὺς εἰσαγοίσιν. Ἔνιοι δὲ ταῦτα πάντα ὑπερβάντες, οὐδὲ τὴν ἀρχην εἶναι Θεοὺς τινας ἐπίστευον, ἀλλ᾽ ἀδέσποτον, καὶ ἀνηγεμόνευτον φέρεσθαι τὸν Κόσμον ἀπελίμπανον.

Ministerio de Educación, Cultura y Deporte

Γνωμοσύνης δ' ἀφανὲς χαλεπώτατόν ἐςὶ νοῆσαι
Μέτρον, ὃ δὴ πάντων πείρατα μῦνον ἔχει.
Πάντι δ' Ἀθανάτων ἀφανὴς νόος ἀνθρώποισι.

Solon. fent. de Deo ex Clem.

Καὶ ὁ μὲν ἀκέων ἔςω τοιῦτος· οἱ δὲ λόγοι τοιοίδε γινέσθωσαν. Αἱ τῶν Θεῶν ἐσίαι, ὔδε ἐγένοντο. Τὰ γὰρ ἀεὶ ὄντα ὐδέποτε γίνονται. Ἀεὶ δὲ εἰσι ὅσα δύναμίν τε ἔχει τὴν πρώτην, καὶ πάσχειν ὐδὲν πέφυκεν· ὐδὲ ἐκ σωμάτων εἰσί· καὶ γὰρ τῶν σωμάτων αἱ δυνάμεις ἀσώματοι. Οὐδὲ τόπῳ περιέχονται· σωμάτων γὰρ τῦτό γε· ὐδὲ τῆς πρώτης αἰτίας, ἢ ἀλλήλων χωρίζονται· ὥσπερ ὐδὲ νῦ αἱ νοήσεις, ὐδὲ ψυχῆς αἱ ἐπιςῆμαι.

Sallust. Philof. c. 2.

Τί ὖν ἐςι Θεὸς; ἰδιόπλαςον ἀγαθὸν, πολύμορφον εἴκασμα, ἀσύνοπτον ὕψωμα, πολυχάρακτον μόρφωμα, δυσνόυμενον ζήτημα, ἀθάνατος νῦς, πολυδιοίκητον πνεῦμα; ἀκοίμητος ὀφθαλμὸς, ἰδία πάντων ὐσία, πολυώνυμος δύναμις, παγκρατὴς χεὶρ, φῶς, νῦς, δύναμις.

Secund. Philof. fent.

Φθέγξομαι οἷς θέμις ἐςὶ, θύρας δ' ἐπίθεσθε βεβήλοις
Πᾶσιν ὁμῶς· σὺ δ' ἄκυε φαεσφόρυ ἔγκονε μήνης,
Μυσαῖ· Ἐξερέω γὰρ ἀληθέα· μηδέ σε τὰ πρὶν
Ἐν στήθεσσι φανέντα φίλης αἰῶνος ἀμέρσῃ.
Εἰς δὲ λόγον θεῖον βλέψας τύτῳ προσέδρευε,
Ἰθύνων κραδιῆς νοερὸν κύτος. Εὖ δ' ἐπίβαινε
Ἀτραπιτῦ, μῦνον δ' ἐσόρα κόσμοιο ἄνακτα.

Orph. de Deô.



Ministerio de Educación, Cultura y Deporte

Εἷς δ' ἔστ' αὐτογενὴς, ἑνὸς ἔκγονα πάντα τέτυκται·
Ἐν δ' αὐτοῖς αὐτὸς περινίσσεται· ὐδὲ τις αὐτὸν
Εἰσοράα θνητων, αὐτὸς δὲ γε πάντας ὁρᾶται.
Οὗτος δ' ἐξ ἀγαθοῖο κακὸν θνητοῖσι δίδωσι,
Καὶ πόλεμον κρυόεντα, καὶ ἄλγεα δακρυόεντα.
Οὐδὲ τις ἐσθ' ἕτερος. Σὺ δὲ κεν ῥέα πάντ' ἐσορήσαις;
Αἴ κεν ἴδης αὐτὸν πρὶν δή ποτε δεῦρ' ἐπὶ γαῖαν.
Τέκνον ἐμὸν δείξω σοι, ὁπηνίκα δέρκομαι αὐτὺ
Ἴχνια, καὶ χεῖρα στιβαρὴν κραπεροῖο Θεοῖο·
Αὐτὸν δ' ὐχ ὁρόω. Περὶ γὰρ νέφος ἐςήρικται
Λοιπὸν ἐμοί. Στᾶσιν δὲ δέκα πτυχαὶ ἀνθρώποισιν.
Οὐ γὰρ κέν τις ἴδοι θνητων μερόπων κραίνοντα,
Εἰ μὴ μυνογενής τις ἀπόῤῥωξ φύλυ ἄνωθεν
Χαλδαίων· ἴδρις γὰρ ἐὴν ἄςροιο πορείης,
Καὶ σφαίρης κίνημ' ἀμφὶ χθόνα ὡς περιτέλλει,
Κυκλοτερές γ' ἐν ἴσω, κατὰ δὲ σφέτερον κνώδακα.
Πνεύματα δ' ἡνιοχεῖ περὶ τ' ἠέρα καὶ περὶ χεῦμα.
Νάματος, ἐκφαίνει δὲ πυρὸς σέλας ἰφιγενήτυ.
Αὐτὸς δ' αὖ μέγαν αὖθις ἐπ' ὐρανὸν ἐςήρικται
Χρυσέω εἰνὶ θρόνω, γαίη δ' ὑπὸ ποσσὶ βέβηκε.
Χεῖρα δὲ δεξιτερὴν ἐπὶ τέρμασιν Ὠκεανοῖο
Ἐκτέτακεν· ὀρέων δέ τρέμει βάσις ἔνδοθι θυμῷ;
Οὐδὲ φέρειν δύναται κρατερὸν μένος· ἔςι δὲ πάντως
Αὐτὸς ἐπυράνιος, καὶ ἐπὶ χθονὶ πάντα τελευτᾷ,
Ἀρχὴν αὐτὸς ἔχων ἅμα καὶ μέσον ἠδὲ τελευτὴν,
Ὡς λόγος ἀρχαίων, ὡς ὑλογενὴς διέταξεν.
Ἐκ θέοθεν γνώμαισι λαβὼν κατὰ δίπλακα θεσμόν.
Ἄλλως ὐ θεμιτὸν δὲ λέγειν. Τρομέω δέ γε γυῖα
Ἐν νόω. Ἐξ ὑπάτυ κραίνει περὶ πάντ' ἐνὶ ταξει.
Ὦ τέκνον, σὺ δὲ τοῖσι νόοισι πελάζεο, γλωσσην
Εὖ μάλ' ἐπικρατέων· στέρνοισι δὲ ἔνθεο φήμην.

. . . . . . . . . . . . , . . . . . . .

. . . . . . . . . . . . , . . - . . . .

Αἰθέρος ἠδ' ἅϊδυ, πόντυ γαίης τε Τύραννε,
Ὃς βρονταῖς σέιεις βριαρὸν δόμον ὐλύμποιο,

Ministerio de Educación, Cultura y Deporte

Δαίμονες ὃν φρίσσουσι, Θεῶν δὲ δέδοικεν ὅμιλος·

. . . . . . . . . . . . . . .

. . . . . . . . . . . . . . .

Ὃς κινεῖς ἀνέμους, νεφέλῃσί τε πάντα καλύπτεις;

Πρηστῆρσι σχίζων πλατὺν αἰθέρα· σὴ μὲν ἐν ἄστροις

Τάξις ἀναλλάκτοισιν ἐφημοσύναισι τρέχουσα·

Σῷ δὲ θρόνῳ πυρόεντι παρεστᾶσιν πολύμοχθοι

Ἄγγελοι, οἷσι μέμηλε βροτοῖς ὡς πάντα τελεῖται

Θαλῆς δ' πρὸς τὸν ἐρόμενον τί Θεός ἐστιν, εἶπεν· ᾧ οὐδ' ἀρχὴ, οὐδὲ τελός ἐστιν.

Καὶ τίνα τῶν Θέων ἐπομόσωμαι γε; ὑψιμέδοντα Θεὸν, μέγαν, ἄμβροτον, οὐρανίωνα, Υἱὸν Πατρὸς, Πνεῦμα ἐκ Πατρὸς ἐκπορευόμενον, ἓν ἐκ τριῶν, καὶ ἐξ ἑνὸς τρία ταῦτα νόμιζε. Lucian. Philopatr.

Ζῆνα τόν δ' ἡγοῦ Θεόν.

Ἡνίκα δ' μοι Γαλιλαῖος ἐνέτυχεν, ἀναφαλαντίας, ἐπίῤῥινος, ἐς τρίτον οὐρανὸν ἀεροβατήσας, καὶ τὰ κάλλιστα ἐκμεμαθηκὼς, δι' ὕδατος, ἡμᾶς ἀνεκαίνισεν, ἐς τὰ τῶν μακάρων ἴχνια παρεισώδευσε, καὶ ἐκ τῶν ἀσεβῶν χώρων ἡμᾶς ἐλυτρώσατο. Καὶ σε ποιήσω, ἢν μου ἀκούῃς, ἐπ' ἀληθείας ἄνθρωπον. Ibid.

Ἀνεγνωκάς ποτε τὰ τοῦ Αριτοφάνους τοῦ Δραματοποιοῦ ὄρνιθας ποιημάτια; Ἐγκεχάρακεται παρ' αὐτοῦ τοίονδε. Χάος ἦν, καὶ νὺξ ἔρεβος τε μέλαν πρωτον, καὶ Τάρταρος εὐρύς.



Ministerio de Educación, Cultura y Deporte

Γῆ δὲ, ἐδὲ ἀὴρ, ἐδὲ ἐρανὸς ἦν.... ἦν φῶς ἄφθιτον, ἀόρατον, ἀκατανόητον, ὃ λύει τὸ σκότος. Καὶ τὴν ἀκοσμίαν ταύτην ἀπήλασε, λόγῳ μονῳ ρηθέντι ὑπ᾽ αὐτῦ· Γῆν ἔπηξεν ἐφ᾽ ὕδασιν, Οὐρανὸν ἐτάνυσεν, ἀςέρας ἐμόρφωσεν ἀπλανεῖς. Δρόμον διετάξατο, ἐς σὺ σέβηθεὺς. Γῆν δὲ τοῖς ἄνθεσιν ἐκαλλώπισεν· ἄνθρωπον ἐκ μὴ ὄντων ἐς τὸ εἶναι παρήγαγε.

Orph. de Deó.

Α᾽φθιτον, ἀθάνατον, ῥητὸν μόνον ἀθανάτοισιν
Ε᾽λθὲ μέγιςε Θεῶν πάντων κρατερῇ σὺν ἀνάγκῃ;
Φρικτὸς, ἀήττητος, μέγας, ἄφθιτος, ὃν ςέφει αἰθήρ.
Δεῦρο νῦν, ἔατα μοι καθαρὰς ἀκοάς τε πελάσσαι,
Κέκλυθι τάξιν ἅπασαν ὅσην τεκμήρατο Δαίμων
Ε᾽κ τε μιῆς νυκτὸς ἠδ᾽ ἐξ ἑνος ἤματος αὔτως.

Hom. 1. ody. v.

. . . . . . . . Θεοὶ δὲ τε πάντα δύνανται.

Callim. sent. in spem.

Ρ᾽άδια πάντα Θεῷ τελέσαι καὶ ἀνήνυτον ἐδὲν.

Demoph. sent.

Ε᾽ὰν ἀεὶ μνημονεύῃς, ὅτι ὅπε ἂν ᾖ ἡ ψυχή σου, καὶ τὸ σῶμα ἔργον ἀποτελεῖ, Θεὸς ἐφέςηκεν ἔφορος, ἐν πάσαις σε ταῖς εὐχαῖς καὶ πράξεσιν, αἰδεσθήσῃ μὲν τῦ Θεωρῦ τὸ ἄληςον, ἕξεις δὲ τὸν Θεὸν σύνοικον.

Home. ody. 7. v.

Ζεὺς δ᾽ αὐτὸς νέμει ὄλβον Ο᾽λύμπιος ἀνθρώποισιν;
Ε᾽σθοῖς ἠδὲ κακοῖσιν ὅπως ἐθέλῃσιν ἑκάςῳ.

Phocylid. sent. v. 48.

Μὴ γαυρε σοφίῃ, μήτ᾽ ἀλκῇ, μήτ᾽ ἐνὶ πλέτῳ.
Εἷς Θεὸς ἐςι Σοφὸς δυνατός θ᾽ ἅμα καὶ πολύολβος.

Solon. sent. v. 11.

Πλῦτον δ᾽ ὃν μὲν δῶσι Θεοὶ, παραγίγνεται ἀνδρὶ
Ε᾽μπεδος ἐκ νεάτε πυθμένος ἐς κορυφήν.

Act. Apost. c. 14. v. 16.

Καὶ τοιγε ἐκ ὁ Θεὸς ἀμάρτυρον ἑαυτὸν

Ministerio de Educación, Cultura y Deporte

ἀφῆκεν ἀγαθοποιῶν, ἐρανόθεν ἡμῖν ὑετοὺς διδὲς, καὶ καιρὲς καρποφόρες, ἐμπιπλῶν τροφῆς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν.

Θεὸς συνεργῶν, πάντα ποιεῖ ῥαδίως. Diversor. sent.
Θεῦ θέλοντος, κἂν ἐπὶ ῥιπὸς πλεόις
Ο᾿ νῦς γὰρ ἡμῖν ἐςιν ἐν ἑκάςῳ Θεὸς
Πάντη γάρ ἐςι, πάντα τε βλέπει Θέος;
Τὸ γὰρ τρέφον με, τῦτ᾿ ἐγω κρίνω Θέον.

---

## ΚΕΦΑΛΑΙΟΝ δ᾿

ΩʹΣΠΕΡ δὲ ἡμεῖς ἀπὸ πσυχῆς διοικέμεθα, ὕτω καὶ ὁ Κόσμος πσυχὴν ἔχει τὴν συνέχεσαν αὐτόν. Καὶ αὕτη καλεῖται Ζεύς. Πότερον διὰ τὸ σώζεσα καὶ αἰτία ὖσα τοις ζῶσι τῦ ζῆν, διὰ τῦτο βασιλεύειν ὁ Ζεὺς λεγεται τῶν ὅλων. Ηʹ ὡς ἂν καὶ ἐν ἡμῖν ἡ πσυχὴ καὶ ἡ φύσις ἡμῶν βασιλεύειν ῥηθείη. Δία δ᾿ αὐτὸν καλῦμεν, ὅτι δί αὐτὸν γίνεται καὶ σώζεται τὰ πάντα. Παρά τισι δὲ καὶ Δεὺς λέγεται, τάχα ἀπὸ τῦ δεύειν τὴν γῆν, ἢ μεταδιδόναι τοῖς ζῶσι ζοτικῆς ἰκμάδος. Καὶ ἡ γενικὴ πλῶσις, ἀπ᾿ αὐτῆς ἐςι Διὸς, παρακειμένη πῶς τῃ Δεὺς. Οἰκεῖν δὲ ἐν τῷ ὐρανῷ λέγεται, ἐπεὶ ἐκεῖ τὸ κυριώτατον μέρος τῆς τῦ Κόσμυ πσυχῆς· καὶ γὰρ αἱ ἡμέτεραι σπυχαί, πῦρ εἰσι.

Phurnuti Lib. de Naturâ. Deor. art. 2 de jove.

Ministerio de Educación, Cultura y Deporte

Lucian. Philopatr. Εὐςόμει, καὶ μηδὲν εἴπῃς φλαῦρον Θεοῦ. Ἀλλὰ Κατηχόμενος πείθου παρ᾽ ἐμοῦ, εἴπερ ζῆν χρήζεις εἰς τὸν αἰῶνα. Εἰ οὐρανὸν ὡς δέῤῥιν ἐξήπλωσε, γῆν δὲ ἐφ᾽ ὕδατος ἔπηξεν, ἀςέρας ἐμόρφωσεν, ἄνθρωπον ἐκ μὴ ὄντος παρήγαγε, τί παράδοξον, καὶ τὰς πράξεις πάντων ἐναπογράφεσθαι; Καὶ γὰρ σοὶ οἰκίδιον κατασκευάσαντι, οἰκέτιδας δὲ καὶ οἰκέτας ἐν αὐτῷ συναγαγόντι, οὐδέποτε σοῦ διέλαθε τούτων πρᾶξις ἀπόβλητος, πόσῳ μᾶλλον τὸν πάντα πεποιηκότα Θεὸν, οὐχ ἅπαντα ἐν εὐκολίᾳ διαδραμεῖν ἑκάςου πρᾶξιν, καὶ ἔννοιαν; Democrat. Philos. sent. Ἣν πιςεύῃ τὶς Θεοὺς ἐπισκοπεύειν πάντα, οὔτε λάθρῃ, οὔτε φανερῶς ἁμαρτήσεται,

Hom. odyss. 7. v. Θεοὶ δὲ τε πάντα ἴσασιν

καὶ ἐςιν ἐν οὐρανῷ βλέπων δικαίους τε, κᾀδικαίους, καὶ ἐν βίβλοις τὰς πράξεις ἀπογραφόμενος.

Id. Epigr. in Deos. Ἄνθρωπος μὲν ἴσως λήσεις ἄτοπόν τι ποιήσας·

Οὐ λήσεις δὲ Θεοὺς οὐδὲ λογιζόμενος,

Esop. f. 16. Ἀνὴρ κακοπράγμων εἰς τὸν ἐν Δελφοῖς ἧκεν Ἀπόλλωνα, πειρᾶσαι τοῦτον βουλόμενος. Καὶ δὴ λαβὼν ςρουθίον ἐν τῇ χειρὶ, καὶ τοῦτο τῇ ἐσθῆτι σκεπάσας, ἔςη τε τοῦ Τρίποδος ἔγγιςα, καὶ ἤρετο τὸν Θεὸν λέγων· Ἄπολλον,

Ministerio de Educación, Cultura y Deporte

ὃν μετὰ χεῖρας φέρω, πότερον ἔμπνουν ἐστὶν ἢ ἄπνουν; βουλόμενος ὡς, εἰ μὲν ἄπνουν εἴποι, ζῶν ἀναδεῖξαι τὸ στρουθίον· εἰ δὲ ἔμπνουν, εὐθὺς ἀποπνίξας νεκρὸν ἐκεῖνο προσενεγκεῖν. Ὁ δ' γε Θεὸς τὴν κακότεχνον αὐτοῦ γνοὺς ἐπίνοιαν, εἶπεν· ὁπότερον, ὦ οὗτος, βούλῃ, ποίησον· παρά σοὶ κεῖται γὰρ τοῦτο πρᾶξαι, ἤτοι ζῶν, ὃ κατέχεις, ἢ νεκρὸν ἀποδεῖξαι.

Οὕτως οὔτι πῃ ἐστὶ Διὸς νόον ἐξαλέασθαι. — Hesiod. oper. v. 104.
Πάντα ἰδὼν Διὸς ὀφθαλμὸς καὶ πάντα νοήσας, — id. v. 264.
Καί νυ τάδ' (αἴκ' ἐθέλῃσ') ἐπιδέρκεται· οὐδὲν ἐλήθει
Οἵην δὴ καὶ τήνδε δίκην Πόλις ἐντὸς ἐέργει.
Ὀξὺς Θεοῦ δ' ὀφθαλμὸς εἰς τὸ πάνθ' ὁρᾶν. — Ex Græcis Comicis.

---

## ΚΕΦΑΛΑΙΟΝ ε.

ΠΡΟ` πάντων σέβου τὸ Θεῖον. — Pittac.
Πρῶτα Θεὸν τίμα, μετ' ἔπειτα δὲ σεῖο γονῆας. — Phocyl. v. 6.
Ἀθανάτους μὲν πρῶτα Θεοὺς, νόμῳ ὡς διάκειται, — Suid. de Pythagor.
Τίμα· καὶ σέβου ὅρκον, ἔπειθ' Ἥρωας ἀγαυούς·
Τούς τε καταχθονίους σέβε Δαίμονας ἔννομα ῥέζων·
Τούς τε γονεῖς τίμα, τούς τ' ἐκγεγαῶτας.

Αἱ δὲ κατ' ἀρετὴν ζήσασαι ψυχαὶ, τά τε ἄλλα εὐδαιμονοῦσαι, καὶ τῆς ἀλόγου χωρισθεῖσαι, καὶ καθαραὶ παντὸς γενόμεναι σώματος, Θεοῖς τε συνάπτονται, καὶ τὸν ὅλον Κόσμον συνδιοικοῦσιν ἐκείνοις. — Salluf. Philofo. c. 21.

Καί τοι καὶ εἰ μηδὲν αὐταῖς τούτων ἐγί- — Ibid.

Ministerio de Educación, Cultura y Deporte

νετο, αὐτή γε ἡ Ἀρετὴ, καὶ ἡ ἐκ τῆς Ἀρετῆς ἡδονή τε καὶ δόξα, ὅ, τε ἄλυπος καὶ ἀδέσποτος βίος εὐδαίμονας ἤρκει ποιεῖν τοὺς κατ' Ἀρετὴν ζῆν προελομένους, καὶ δυνηθέντας.

Id. C. 14. Εἰ δέ τις τὸ μὲν Θεοὺς μὴ μεταβάλλεσθαι εὔλογόν τε ἡγεῖται, καὶ ἀληθὲς, ἀπορεῖ δὲ πῶς ἀγαθοῖς μὲν χαίρουσι; κακοὺς δὲ ἀποστρέφονται· καὶ ἁμαρτάνουσι μὲν ὀργίζονται, ῥητέον, ὡς οὐ χαίρει Θεός. Τὸ γὰρ χαῖρον, καὶ λυπεῖται, οὐδὲ ὀργίζεται· πάθος γὰρ καὶ τὸ ὀργίζεσθαι· οὐδὲ δώροις θεραπεύεται· ἡδονῇ γὰρ ἂν ἡττηθείη· οὐδὲ θέμις ἐκ τῶν ἀνθρώπινων πραμάτων, οὔτε καλῶς, οὔτε κακῶς ἔχειν τὸ Θεῖον. Ἀλλ' ἐκεῖνοι μὲν ἀγαθοί τε εἰσὶν ἀεὶ, καὶ ὠφελοῦσι μόνον· βλάπτουσι δὲ οὐδέποτε κατὰ τὰ αὐτὰ ὡσαύτως ἔχοντες· ἡμεῖς δὲ ἀγαθοὶ μὲν ὄντες δι' ὁμοιότητα Θεοῖς συναπτόμεθα, κακοὶ δὲ γενόμενοι δι' ἀνομοιότητα χωριζόμεθα. Καὶ κατ' ἀρετὰς ζῶντες ἐχόμεθα τῶν Θεῶν, κακοὶ δὲ γενόμενοι ἐχθροὺς ἡμῖν ποιοῦμεν ἐκείνους. Οὐκ ἐκείνων ὀργιζομένων, ἀλλὰ τῶν ἁμαρτημάτων Θεοὺς μὲν ἡμῖν οὐκ ἐώντων ἐλλάμπειν, Δαίμοσι δὲ κολαστικοῖς συναπτόντων. Εἰ δὲ Εὐχαῖς, καὶ Θυσίαις λύσιν τῶν ἁμαρτημάτων εὑρίσ-

Ministerio de Educación, Cultura y Deporte

κομεν, καὶ μεταβάλλομεν, ἀλλὰ διὰ τῶν δρωμένων, καὶ τῆς πρὸς τὸ Θεῖον ἐπιστροφῆς τὴν ἡμετέραν κακίαν ἰώμενοι, πάλιν τῆς τοῦ Θεῶν ἀγαθότηθος ἀπολαύομεν. Ὥστε ὅμοιον τὸν Θεὸν λεγειν τοὺς κακοὺς ἀποστρέφεσθαι, καὶ τὸν Ἥλιον τοῖς ἐστερημένοις τῆς ὄψεως κρύπτεσθαι,

> Κύρνε, Θεοὺς αἰδοῦ, καὶ δείδιθι· τοῦτο γὰρ ἄνδρα Theogn.
> Εἴργει μήθ' ἔρδειν μήτε λέγειν ἀσεβῆ. v. 1181.

Δῶρα καὶ θυσίαι Θεὸν οὐ τιμῶσιν, ἀναθήματα Θεὸν οὐ κοσμεῖ· ἀλλὰ τὸ ἔνθεον φρόνημα διαρκῶς συνάπτει Θεῷ. Χωρεῖν γὰρ ἀνάγκη τὸ ὅμοιον πρὸς τὸ ὅμοιον. Demoph. sent.

Ζῇ ὡς ἀληθῶς Θεῷ ὁμοίως ὁ αὐτάρκης καὶ ἀκτήμων φιλόσοφος, καὶ πλοῦτον ἡγεῖται μέγιστον, μηδὲν ἀλλότριον κεκτῆσθαι, καὶ μὴ ἀναγκαῖον. Ἐπιτείνει γὰρ τὴν ἐπιθυμίαν ποτὲ ἡ τῶν χρημάτων ἐπίκτησις· αὔταρκες δὲ πρὸς εὐζωίαν τὸ μηδὲν ἀδικεῖν. Ibid.

Ῥιζωθέντες ἐκ Θεοῦ καὶ φύντες τῆς αὐτῶν ῥίζης ἐχώμεθα· καὶ γὰρ ὕδατος προχοαὶ, καὶ τὰ ἄλλα φυτὰ τῆς γῆς, ῥίζης ἀποκοπέντα αὐαίνεται, καὶ σήπεται. Ibid.

Ψυχῆς ἁγνῆς τόπον οἰκειότερον ἐπὶ γῆς οὐκ ἔχει Θεός. Id.

Ministerio de Educación, Cultura y Deporte

Ῥᾳδίως μὴ μακαρίσῃς ἄνθρωπον σαλεύοντα ἐπὶ φίλοις, ἢ τέκνοις, ἤ τινι τῶν ἐφήμερον τὴν σωτηρίαν ἐχόντων· ἐπισφαλῆ γὰρ πάντα τὰ τοιαῦτα· τὸ δ' ἐφ' ἑαυτοῦ ἔχεσθαι καὶ τοῦ Θεοῦ, μόνον βέβαιον.

Matth. c. 5. v. 8. Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.

Hesiod. oper. v. 334.
Αγνῶς καὶ καθαρῶς, ἐπὶ δ' ἀγλαὰ μηρία καιέιν·
Α'λλοτε δὴ σπονδῇσι θυέεσσί τε ἱλάσκεσθαι,
Ημὲν ὅτ' εὐναζῃ, καὶ ὅταν φάος ἱερὸν ἔλθῃ·
Ω'ς κέ τοὶ ἵλαον κραδιὴν καὶ θυμὸν ἔχωσιν·

Phocylid. v. 215.
Α'γνεῖαι ψυχῆς, τοῦ σώματός εἰσι καθαρμοί.

---

# ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Philemo. sent.
ΕΓ' τις δὲ θυσίεν προσφέρων, ὦ Πάμφιλε,
Ταύρων τὶ πλῆθος, ἢ Ε'ρίφων, ἢ νὴ Δία
Ε'τέρων τοιούτων, ἢ κατασκεύασματα,
Χρυσᾶς ποιήσας χλαμύδας, ἤτοι πορφυρᾶς
Η'δι' ἐλέφαντος, ἢ σμαράγδου ζώδια,
Ε'ύνουν νομίζει τὸν Θεὸν καθεστάναι
Πλανᾶτ' ἐκεῖνος καὶ φρένας κούφας ἔχει.
Δεῖ γὰρ τὸν ἄνδρα χρήσιμον πεφυκέναι,
Μὴ παρθένους φθείροντα καὶ μοιχώμενον,
Κλέπτοντα, καὶ σφάττοντα χρημάτων χάριν;
Τ' ἀλλότρια βλέποντα, κἀπιθυμοῦντα
Η' τοὶ γυναικὸς πολυτελοῦς, ἢ δώματος
Η'κλήσεως, παιδός τε, παιδίσκης θ' ἁπλῶς
Ι'ππων, βοῶν τὸ σύνολον, ἢ κτηνῶν, τί δή;
Μηδὲ βελόνης ἐν ἅμμ' ἐπιθυμήσῃ, Πάμφιλε.
Ο' γὰρ Θεὸς βλέπει σε πλησίον παρὼν,
Ο'ς ἔργοις δικαίοις ἥδεται, οὐκ ἀδίκοις

Τὴν

Ministerio de Educación, Cultura y Deporte

Τὴν γῆν αρῦντα νύκτα καὶ τὴν ἡμέραν
Θεῷ δὲ θῦε διὰ τέλες δίκαιος ὢν,
Μὴ λαμπρὸς ὢν χλαμύσιν ὡς τῇ καρδίᾳ
Βροντῆς ἀκέσας, μηδαμῶς πύῤῥω φύγῃς,
Μηδὲν συνειδὼς αὐτὸς σαυτῷ δέσποτα.

Α῾ μὲν γὰρ ἐν ταῖς θυσίαις οἱ μάταιοι πράττεσι, καὶ ταῖς ἑορταῖς, καὶ προσόδοις τῶν Θεῶν, καὶ ἃ αἰτῦσι, καὶ ἃ εὔχονται, καὶ ἃ γιγνώσκεσι περὶ αὐτῶν, ἐκ οἶδα εἴ τις ἕτω κατηφής ἐςι, καὶ λελυπημένος, ὅςις ἐ γελάσεται τὴν ἀβελτηρίαν ἐπιβλέψας τῶν δρωμένων. Καὶ πολύ γε οἶμαι πρότερον τῦ γελᾶν πρὸς ἑαυτὸν ἐξετάσει, πότερον εὐσεβεῖς αὐτὲς χρὴ καλεῖν, ἢ τἐναντίον Θεοῖς ἐχθρὲς, καὶ κακοδαίμονας. Ο῞ γε οὕτο ταπεινὸν, καὶ ἀγεννὲς τὸ Θεῖον ὑπειλήφασιν, ὥςε εἶναι ἀνθρώπων ἐνδεὲς, καὶ κολακευόμενον, ἥδεσθαι, καὶ ἀγανακτεῖν ἀμελέμενον. Lucian. de sacrific.

Τὰ γῦν Αἰτωλικὰ πάθη, καὶ τὰς τῶν Καλυδωνίων συμφορὰς, καὶ τὲς τοσέτες φόνες, καὶ τὴν Μελεάγρε διάλυσιν, πάντα ταῦτα ἔργα φάσιν εἶναι τῆς Αρτέμιδος, μεμψιμοιρέσης ὅτι μὴ παρελήφθη πρὸς τὴν θυσίαν ὑπὸ τῦ Οἰνέως· ἕτως ἄρα βαθέως καθίκετο αὐτῆς ἡ τῶν ἱερείων διαμαρτία. Καὶ μοι δοκεῖ ὁρᾶν αὐτὴν ἐν τῷ ἐρανῷ τότε μόνην, τῶν

ἄλλων Θεῶν ἐν Οἰνέως πεπορευμένων, δεινὰ ποιοῦσαν, καὶ σχετλιάζουσαν, οἵας ἑορτῆς ἀπολειφθήσεται. Τοὺς δ' αὖ Αἰθίοπας, καὶ μακαρίους, καὶ τρισευδαίμονας εἴποι τις ἄν, εἴγε ἀπομνημονεύοι τὴν χάριν αὐτοῖς ὁ Ζεὺς, ἣν ἐν ἀρχῇ τῆς Ομήρου ποιήσεως πρὸς αὐτὸν ἐπεδείξαντο, δώδεκα ἑξῆς ἡμέρας ἑστιάσαντες, καὶ ταῦτα, ἐπαγόμενον καὶ τοὺς ἄλλους Θεούς.

Οὕτως οὐδὲν, ὡς ἔοικεν, ἀμισθὶ ποιοῦσιν, ὧν ποιοῦσιν· ἀλλὰ πωλοῦσι τοῖς ἀνθρώποις τ'ἀγαθὰ, καὶ ἔνεστι πρίασθαι παρ' αὐτῶν, τὸ μὲν, ὑγιαίνειν, εἰ τύχοι, βοιδίου· τὸ δὲ πλουτεῖν, βοῶν τεττάρων· τὸ δὲ βασιλεύειν, ἑκατόμβης· τὸ δὲ σῶον ἐπανελθεῖν ἐξ Ιλίου ἐς Πύλον, ταύρων ἐννέα· καὶ τὸ ἐκ τῆς Αὐλίδος ἐς Ιλίον διαπλεῦσαι παρθένου βασιλικης· ὁ μὲν γὰρ ἑκατόμβῃ τὸ μὴ ἁλῶναι ποτε τὴν πόλιν ἐπρίατο παρὰ τῆς Αθηνᾶς βοῶν δώδεκα, καὶ πεπλου. Εἰκάζειν δὲ χρὴ πολλὰ ειναι, καὶ ἀλεκτρύονος, καὶ στεφάνου, καὶ λιβανωτοῦ μόνου παρ' αὐτοῖς ὤνια· Ταῦτα δὲ οἶμαι καὶ χρύσης ἐπιστάμενος ἅτε ἱερεὺς, καὶ γέρων, καὶ τὰ θεῖα σοφὸς, ἐπειδὴ ἄπρακτος ἀπίει παρὰ τοῦ Αγαμεμνονος, ὡσὰν καὶ προδανείσας τῷ Απόλλωνι τὴν χάριν, δικαιολογεῖται, καὶ ἀπαιλεῖ

Ministerio de Educación, Cultura y Deporte

τὴν ἀμοιβὴν, καὶ μόνον οὐκ ὀνειδίζει, λέγων· Ω ΒΕΛΤΙΣΤΕ ΑΠΟΛΛΟΝ, ἐγὼ μὲν σου τὸν νεὼν, τέως ἀστεφάνωτον ὄντα, πολλάκις ἐστεφάνωσα· καὶ τοσαῦτά σοι μηρία ταύρων τε καὶ αἰγῶν ἔκαυσα ἐπὶ τῶν βωμῶν, ΣΥ δ' ἀμελεῖς μου τοιαῦτα πεπονθότος, καὶ παρ' οὐδὲν τίθεσαι τὸν εὐεργέτην. Τοιγαροῦν οὕτω κατεδυσώπησεν αὐτὸν ἐκ τῶν λόγων, ὥστε ἁρπασάμενος τὰ τόξα, καὶ ὑπὲρ τοῦ ναυστάθμου καθίσας ἑαυτὸν, κατετόξευσε τῷ λοιμῷ τοὺς Ἀχαιοὺς αὐτοῖς ἡμιόνοις, καὶ κύσιν.

Ἐπεὶ δ' ἅπαξ τοῦ Ἀπόλλωνος ἐμνήσθην, βούλομαι καὶ τἄλλα εἰπεῖν, ἃ περὶ αὐτοῦ οἱ σοφοὶ τῶν ἀνθρώπων λέγουσιν, οὐχ ὅσα περὶ τοὺς ἔρωτας ἐδυστύχησεν, οὐδὲ τοῦ Ὑακίνθου τὸν φόνον, οὐδὲ τῆς Δάφνης τὴν ὑπεροψίαν· ἀλλ' ὅτι καὶ καταδικασθεὶς ἐπὶ τῷ τῶν Κυκλώπων θανάτῳ, κἀξοστρακισθεὶς διὰ τοῦτο ἐκ τοῦ οὐρανοῦ κατεπέμφθη ἐς γῆν, ἀνθρωπίνῃ χρησάμενος τῇ τύχῃ. Ὅτε δὲ καὶ ἐθήτευσεν ἐν Θετταλίᾳ παρ' Ἀδμήτῳ, καὶ ἐν Φρυγίᾳ παρὰ Λαομέδοντι, παρὰ τούτῳ μὲν γε οὐ μόνος, ἀλλὰ μετὰ τοῦ Ποσειδῶνος, ἀμφότεροι πλινθεύοντες ὑπ' ἀπορίας, καὶ ἐργαζόμενοι ἐς τὸ τεῖχος, καὶ οὐδὲ ἐντελῆ τὸν μισθὸν ἐκομί-



Ministerio de Educación, Cultura y Deporte

σαντο παρὰ τȣ̃ Φρυγὸς, ἀλλὰ προσῶφλεν αὐτοῖς πλέον ἢ τριάκοντά φασι δραχμὰς Τρωϊκάς.

Ἦ γὰρ ȣ̓ ταῦτα σεμνολογȣ̃σιν οἱ Ποιηταὶ περὶ τῶν Θεῶν; Καὶ πολὺ τȣ́των ἱερώτερα περί τε Ηφαίςȣ, καὶ Προμηθέως, καὶ Κρόνȣ, καὶ Ῥέας, καὶ σχεδὸν ὅλης τῆς τȣ̃ Διὸς οἰκίας; Καὶ ταῦτα, παρακαλέσαντες τὰς Μȣ́σας συνῳδȣ̀ς ἐν ἀρχῇ τῶν ἐπῶν, ὑφ᾽ ὧν δὴ ἔνθεοι γενόμενοι, ὡς τὸ εἰκὸς, ᾄδȣσιν, ὡς ὁ μὲν Κρόνος, ἐπειδὴ τάχιςα ἐξέτεμε τὸν πατέρα τὸν Οὐρανὸν, ἐβασίλευσέ τε ἐν αὐτῷ, καὶ τὰ τέκνα κατήσθιεν, ὥσπερ ὁ Ἀργεῖος Θυέςης· ὕςερον δὲ ὁ Ζεὺς κλαπεὶς ὑπὸ τῆς Ῥέας ὑποβαλλομένης τὸν λίθον ἐς τὴν Κρήτην ἐκτεθεὶς, ὑπ᾽ αἰγὸς ἀνετράφη, καθάπερ ὁ Τήλεφος ὑπ᾽ ἐλάφȣ, καὶ ὁ Πέρσης Κῦρος ὁ πρότερον, ὑπὸ τῆς κυνός. Εἶτα ἐξελάσας τὸν πατέρα, καὶ ἐς τὸ δεσμωτήριον καταβαλὼν, αὐτὸς ἔχε τὴν ἀρχήν· ἔγημε δὲ πολλὰς μὲν ἄλλας, ὑςάτην δὲ, τὴν Ἥραν τὴν ἀδελφὴν, κατὰ τῶν Περσῶν τȣ̃το, καὶ Ἀσσυρίων νόμȣς, ῥαδίως ἐνέπλησε παίδων τὸν ȣ̓ρανον. Τȣ̀ς μὲν ποιήσε γιγνόμενος ἄρτι μὲν χρυσίον, ἄρτι δὲ ταῦρος, ἢ κύκνος, ἢ ἀετός, καὶ ὅλως

Ministerio de Educación, Cultura y Deporte

ποικιλώτερος αὐτȢ Πρωτεως. Μόνην δὲ τὴν Αθηνᾶν ἔφυσεν ἐκ τῆς ἑαυτȢ κεφαλῆς, ὑπ᾽ αὐτὸν ἀτεχνῶς τὸν ἐγκέφαλον συλλαβών. Ο῞μοια δε τȢτοις καὶ περὶ τῆς Ηρας, καὶ τῆς Ρέας, καὶ τῆς Αφροδιτης, ἢ τῆς Σελήνης ἄδȢσιν. Φέρε δὲ ἤδη τȢτων ἀφέμενοι τῶν λόγων, ἐς αὐτὸν ἀνέλθωμεν τὸν οὐρανὸν, ποιητικῶς ανάπλαμενοι κατὰ τὴν αὐτὴν Ομήρῳ καὶ Ησιόδῳ ὁδὸν· καὶ θεασώμεθα ὅπως ἕκαστον διακεκόσμηται τῶν ἄνω.

Καὶ ὅτι μὲν χαλκȢς ἐστι τὰ ἔξω, καὶ πρὸ ἡμῶν τȢ ΟμήρȢ λέγοντος ἠκȢσαμεν. Υ῾περβάντι δὲ καὶ ἀνακυψαντι μικρὸν ἐς τὸ ἄνω, καὶ ἀτεχνῶς ἐπὶ τȢ νώτȢ γενομένῳ, φῶς τελαμπρότερον φαίνεται, καὶ Η῞λιος καθαρώτερος, καὶ ἄστρα διαυγέστερα· καὶ τὸ πᾶν, ἡμέρα, καὶ χρυσȢν τὸ δάπεδον. Ε᾿σίοντι δὲ, πρῶτον μὲν οἰκȢσιν αἱ Ωραι, ΠυλωρȢσι γάρ· ἔπειτα δὲ, ἡ Ιρις, καὶ ὁ Ερμῆς, ὄντες ὑπηρέται, καὶ ἀγγελιαφόροι τȢ Δίος· ἑξῆς δὲ, τȢ ΗφαίστȢ τὸ χαλκεῖον ἀνάμεσον ἁπάσης τέχνης· μετὰ δὲ, αἱ τῶν Θεῶν οἰκίαι, καὶ τȢ Δίος τὰ βασίλεια, ταῦτα πάντως περικαλλῆ τȢ Η῾φαίστȢ κατασκευάσαντος.

Οἱ δ᾽ Θεοὶ παρὰ Ζηνὶ καθήμενοι, (πρέπει



Ministerio de Educación, Cultura y Deporte

γὰρ, οἶμαι, ἄνω ὄντα μεγαληγορεῖν,) ἀποσκοπᾶσιν ἐς τὴν γῆν, καὶ πάντη περιϐλέπουσιν ἐπικύπτοντες, εἴποθεν ὄψονται πῦρ ἀναπτόμενον, ἢ ἀναφερομένην κνίσσαν, ἑλισσομένην περὶ καπνῷ. Κἂν μὲν θύῃ τις, εὐωχοῦνται πάντες, ἐπικεχηνότες τῷ καπνῷ, καὶ τὸ αἷμα πίνοντες τοῖς βωμοῖς προχεόμενον, ὥσπερ αἱ Μυῖαι. Ἢν δ᾽ οἰκόσιτοι ὦσι, νέκταρ, καὶ ἀμϐροσία τὸ δεῖπνον. Πάλαι μὲν οὖν καὶ ἄνθρωποι συνειστιῶντο, καὶ συνέπινον αὐτοῖς, ὁ Ἰξίων, καὶ ὁ Τάνταλος. Ἐπεὶ δὲ ἦσαν ὑϐρισταὶ, καὶ λάλοι, ἐκεῖνοι μὲν ἔτι καὶ νῦν κολάζονται· ἄϐατος δὲ τῷ θνητῶν γένει καὶ ἀπόῤῥητος ὁ οὐρανός.

Τοιοῦτος ὁ βίος τῶν θεῶν· τοιγαροῦν καὶ οἱ ἄνθρωποι συνῳδὰ τούτοις, καὶ ἀκόλουθα περὶ τὰς θρησκείας ἐπιτηδεύουσι.

Καὶ πρῶτον μὲν, ὕλας ἀπετέμοντο, καὶ ὄρη ἀνέθεσαν, καὶ ὄρνεα καθιέρωσαν, καὶ τὰ φυτὰ ἐπεφήμισαν ἑκάστῳ Θεῷ. Μετὰ δὲ νειμάμενοι κατὰ ἔθνη, σέβουσι, καὶ πολίτας αὐτῶν ἀποφαίνουσιν· ὁ μὲν Δελφὸς, τὸν Ἀπόλλω, καὶ ὁ Δήλιος· ὁ δ᾽ Ἀθηναῖος τὴν Ἀθηνᾶν· μαρτυρεῖται γοῦν τὴν οἰκειότητα τῷ ὀνόματι· καὶ τὴν Ἥραν ὁ Ἀργεῖος· καὶ ὁ Μυγδόνιος

Ministerio de Educación, Cultura y Deporte

τὴν Ῥέαν· καὶ τὴν Ἀφροδίτην ὁ Πάφιος. Οἱ δ' αὖ Κρῆτες οὐ γενέσθαι παρ' αὐτοῖς οὐδὲ τραφῆναι μόνον τὸν Δία λέγουσιν, ἀλλὰ καὶ τάφον αὐτοῦ δεικνύουσι. Καὶ ἡμεῖς ἄρα τοσοῦτον ἠπατώμεθα χρόνον, οἰόμενοι τὸν Δία βροντᾷν τε, καὶ ὕειν, καὶ τἄλλα πάντα ἐπιτελεῖν. Ὁ δὲ ἐλελήθει πάλαι τεθνεὼς, παρὰ Κρησὶ τεθαμμένος.

Ἔπειτα δὲ ναοὺς ἐγείραντες, ἵν' αὐτοῖς μὴ ἄοικοι, μὴ δ' ἀνέστιοι δῆθεν ὦσιν, εἰκόνας αὐτῶν ἀπεικάζουσι, παρακαλέσαντες ἢ Πραξιτέλην, ἢ Πολύκλειτον, ἢ Φειδίαν. Οἱ γὰρ οὐκ οἶδ' ὅπου ἰδόντες, ἀναπλάττουσι γενείτην τὸν Δία, παῖδα δ' ἐς ἀεὶ τὸν Ἀπόλλωνα, καὶ τὸν Ἑρμῆν ὑπηνήτην, καὶ Ποσειδῶνα κυανοχαίτην, καὶ γλαυκῶπιν τὴν Ἀθηνᾶν. Ὅμως δ' οὖν οἱ παριόντες ἐς τὸν νεὼν, οὔτε τὸν ἐξ Ἰνδῶν ἐλέφαντα ἔτι οἴονται ὁρᾶν, οὔτε τὸ ἐκ τῆς Θρακης μεταλλευθὲν χρυσίον, ἀλλὰ τοῦ Κρόνου καὶ Ῥέας ἐς τὴν γῆν ὑπὸ Φειδίου μετῳκισμένον, καὶ τὴν Πισαίων ἐρημίαν ἐπισκοπεῖν κεκελευσμένον, καὶ ἀγαπῶντα εἰ διὰ πέντε ὅλων ἐτῶν θύσει τις αὐτῷ πάρεργον Ὀλυμπίων.

Θέμενοι δὲ βωμοὺς, καὶ προρρήσεις, καὶ



Ministerio de Educación, Cultura y Deporte

περιῤῥαντήρια, προσάγουσι τὰς θυσίας· βοῦν μὲν ἀροτῆρα ὁ γεωργός, ἄρνα δὲ ὁ ποιμὴν, καὶ αἶγα πόλος· ὁ δέ τις λιβανωτὸν ἢ πόπανον· ὁ δὲ πένης ἱλάσατο τὸν Θεὸν, φιλήσας μόνον τὴν αὐτοῦ δεξιάν. Ἀλλ' οἵγε θύοντες (ἐπ' ἐκείνους γὰρ ἐπάνειμι) στεφανώσαντες τὸ ζῶον, καὶ πολύ γε πρότερον ἐξετάσαντες εἰ ἐντελὲς εἴη, ἵνα μὴ δὲ τῶν ἀχρήστων τι κατασφάττωσι, προσάγουσι τῷ βωμῷ, καὶ φονεύουσιν ἐν ὀφθαλμοῖς τοῦ Θεοῦ, γερόν τι μυκώμενον, καὶ ὡς τὸ εἰκὸς εὐφημοῦν, καὶ ἤ μίφωνον ἤδη τῇ θυσίᾳ ἐπαυλοῦν.

Τίς οὐκ ἂν εἰκάσειεν ἥδεσθαι, ταῦθ' ὁρῶντας τοὺς Θεούς; Καὶ τὸ μὲν πρόγραμμα φησὶ, μὴ παρίεναι εἴσω περιῤῥαντηρίων, ὅστις μὴ καθαρός ἐστι τὰς χεῖρας. Ὁ δ' ἱερεὺς αὐτὸς ἕστηκεν ᾑμαγμένος, καὶ, ὥσπερ ὁ Κυκλωπς ἐκεῖνος, ἀνατέμνων, καὶ τὰ ἔγκατα ἐξαίρων, καὶ καρδιουλκῶν, καὶ τὸ αἷμα τῷ βωμῷ περιχέων. Καὶ τί γὰρ οὐκ εὐσεβὲς ἐπιτελῶν; ἐπὶ πᾶσι δὲ πῦρ ἀνακαύσας ἐπέθηκε, φέρων αὐτῇ δορᾷ τὴν αἶγα, καὶ αὐτοῖς ἐρίοις τὸ πρόβατον. Ἡ δὲ κνίσσα, θεσπέσιος, καὶ ἱεροπρεπὴς χωρεῖ ἄνω, καὶ ἐς αὐτὸν τὸν οὐρανὸν διασκίδναται ἠμέρα. Ὁ μέν γε Σκύθης, καὶ

Ministerio de Educación, Cultura y Deporte

πάσας τὰς θυσίας ἀφεις, καὶ ἡγησάμενος ταπεινὰς, αὐτοὺς ἀνθρώπους τῇ Αρτέμιδι πάριστησι, καὶ οὕτω ποιῶν, αρεσκει τῇ Θεῷ.

Ταῦτα μὲν ἴσως μέτρια, καὶ τὰ ὑπ' Ασσυρίων γιγνόμενα, καὶ ὑπὸ Φρυγῶν, καὶ Λυδῶν. Ἢν δ' ἐς τὴν Αἴγυπτον ἔλθῃς, τότε δὴ τότε ὄψει πολλὰ τὰ σεμνὰ, καὶ ὡς ἀληθῶς ἄξια τοῦ οὐρανοῦ· κριοπρόσωπον μὲν τὸν Δία· κυνοπρόσωπον δὲ τὸν βέλτιστον Ερμῆν· καὶ τὸν Πᾶνα ὅλον τράγον, καὶ Ἶβιν τινὰ, καὶ Κροκόδειλον ἕτερον, καὶ Πίθηκον. Εἰ δ' ἐθέλοις καὶ ταῦτα δαήμεναι ὄφρ' εὖ εἰδῇς, ἀκούσῃ πολλῶν σοφιστῶν, καὶ γραμματέων, καὶ προφητῶν ἐξυρημένων, διηγουμένων (πρότερον δὲ φησιν ὁ λόγος· θύρας δ' ἐπιθεσθε βέβηλος) ὡς ἄρα ὑπὸ τῶν πολεμίων, καὶ τῶν Γιγάντων τὴν ἐπανάστασιν οἱ Θεοὶ φοβηθέντες, ἧκον ἐς τὴν Αἴγυπτον, ὡς δὴ ἐνταῦθα λησόμενοι τοὺς πολεμίους· εἶθ' ὁ μὲν αὐτῶν ὑπέδυ τράγον· ὁ δὲ κριὸν ὑπὸ τοῦ δέους· ὁ δὲ θηρίον, ἢ ὄρνεον· διὸ δὴ εἰσέτι καὶ νῦν φυλάττεσθαι τὰς τότε μορφὰς τοῖς Θεοῖς. Ταῦτα γὰρ ἀμέλει ἐν τοῖς ἀδύτοις ἀπόκειται γραφέντα, πρὶν ἢ πρὸ ἐτῶν μυρίων.

Αἱ δὲ θυσίαι, καὶ παρ' ἐκείνοις αἱ αὐταὶ·

Ministerio de Educación, Cultura y Deporte

πλὴν ὅτι πενθοῦσι τὸ ἱερεῖον, καὶ κόπτονται περιστάντες ἤδη πεφονευμένον· οἱ δὲ καὶ θάπτουσι, μόνον ἀποσφάξαντες. Ὁ μὲν γὰρ Ἄπις ὁ μέγιστος Θεὸς αὐτοῖς, ἂν ἀποθάνῃ, τίς οὕτω περιπολλοῦ ποιεῖται τὴν κόμην, ὅστις οὐκ ἀπεξύρησε, καὶ ψιλὸν ἐπὶ τῆς κεφαλῆς τὸ πένθος ἐπεδείξατο, κἂν τὸν Νίσου ἔχῃ πλόκαμον τὸν πορφυροῦν; Ἔστι δὲ ὁ Ἄπις ἐξ ἀγέλης Θεὸς, ἐπὶ τῷ προτέρῳ χειροτονούμενος, πολὺ καλλίων, καὶ σεμνότερος τῶν ἰδιωτῶν βοῶν.

Ταῦτα οὕτω γιγνόμενα, καὶ ὑπὸ τῶν πολλῶν πιστευόμενα, δεῖσθαί μοι δοκεῖ, τοῦ μὲν ἐπιτιμήσοντος, οὐδενὸς, Ἡρακλείτου δὲ τινος, ἢ Δημοκρίτου· τοῦ μὲν γελασομένου τὴν ἄνοιαν αὐτῶν· τοῦ δὲ τὴν ἄγνοιαν ὀδυρομένου.

Ἐπεὶ δ' ἅπαξ τῆς τῶν παλαὶ ἀνθρώπων καὶ ἀνοίας καὶ τῆς ἀγνοίας ἐμνήσθην, βούλομαι καὶ τἄλλα εἰπεῖν, ἃ περὶ τῆς τῶν αὐτῶν δεισιδαιμονίας. Ἀμέλει ἐκείνη δόξειεν εἶναι δειλία πρὸς τὸ δαιμόνιον. Ὁ δὲ δεισιδαίμων τοιοῦτός τις, οἷος ἀπονιψάμενος τὰς χεῖρας, καὶ περιῤῥανάμενος ἀπὸ τοῦ ἱεροῦ δάφνης εἰς τὸ στόμα λαβὼν, οὕτω τὴν ἡμέραν περιπατεῖν. Καὶ τὴν ὁδὸν ἐὰν παραδράμῃ Γαλῆ, μὴ πρότερον πορευθῆναι, ἕως διεξέλθῃ τις,

Theoph. Caract.

Ministerio de Educación, Cultura y Deporte

ἢ λίθους τρεῖς ὑπὲρ τῆς ὁδοῦ διαβάλῃ. Καὶ ἐὰν ἴδῃ Ὄφιν ἐν τῇ οἰκίᾳ, ἱερὸν ἐνταῦθα ἱδρύσασθαι.

Καὶ τῶν λιπαρῶν λίθων τῶν ἐν περιόδοις, παριὼν ἐκ τῆς ληκύθου ἔλαιον ἐκλύσασθαι· καὶ ἐπὶ γόνατα πεσὼν καὶ προσκυνήσας ἀπαλλάττεσθαι. Καὶ ἐὰν Μῦς θύλακον ἀλφίτων διαφάγῃ πρὸς τὸν ἐξηγητὴν ἐλθὼν, ἐρωτᾷν τί χρὴ ποιεῖν· καὶ ἐὰν ἀποκρίνηται αυτῷ ἐκδοῦναι τῷ σκυτοδέψῃ ἀπορράψαι, μὴ προσέχων τούτοις, ἀλλ' ἀποτραπεὶς ἐκδύσασθαι. Καὶ πυκνὰ δὲ τὴν οἰκίαν καθαριεῖν· καὶ οὔτε ἐπιβῆναι μνήματι, οὔτε ἐπὶ νεκρὸν ἐλθεῖν, οὔτε ἐπὶ λέχει. Καὶ ὅταν ἐνύπνιον ἴδῃ, πορεύεσθαι πρὸς τοὺς ὀνειροκρίτας, πρὸς τοὺς μάντεις, πρὸς τοὺς ὀρνιθοσκόπους, ἐρωτήσων τίνι Θεῷ, ἢ τίνι Θεᾷ προσεύχεσθαι δεῖ.

Καὶ τελεσθησόμενος, πρὸς τοὺς Ὀρφεοτελεστὰς κατὰ μῆνα πορεύεσθαι μετὰ τῆς γυναικός.... Καὶ ἐπὶ τοῖς τριόδοις ἀπελθὼν κατὰ κεφαλῆς λούσασθαι. Καὶ ἱερείας καλέσας, σκίλλη ἢ σκύλακι κελεῦσαι αὐτὸν περικαθᾶραι· μαινόμενόν τε ἰδὼν ἢ ἐπίληπτον, φρίξας εἰς κόλπον πτύσαι.

Ministerio de Educación, Cultura y Deporte

# ΚΕΦΑΛΑΙΟΝ ζ΄.

Sallust. Philos. c. 18. de impietate.

ΚΑΙ μὲν οὐδὲ τὸ Αʼθείας περί τινας τόπους τῆς γῆς γενέσθαι, πολλάκις δὲ ὕστερον ἔσεσθαι, ἄξιον ταράττειν τοὺς ἔμφρονας. Ὅτι τε οὐκ εἰς Θεοὺς γίνεται ταῦτα ὥσπερ οὐδὲ αἱ τιμαὶ ἐκείνους ὠφελοῦσαι ἐφάνησαν· καὶ διὰ τὸ ἀδυνατεῖν, μέσης οὐσίας οὖσαν τὴν ψυχὴν, ἀεὶ κατορθοῦν. Καὶ τὸ μὴ δύνασθαι πάντα τὸν Κόσμον τῆς τῶν Θεῶν προνοίας ἀπολαύειν, ὁμοίως· ἀλλὰ τὰ μὲν αἰωνίως, τὰ δὲ κατὰ χρόνον· καὶ τὰ μὲν πρώτως, τὰ δὲ δευτέρως μετέχειν ἐκείνης· ὥσπερ καὶ τῶν αἰσθήσεων πασῶν μὲν ἡ κεφαλὴ, μιᾶς δὲ ὅλον τὸ σῶμα αἰσθάνεται. Καὶ διὰ τοῦτο, ὡς ἔοικεν, οἱ τὰς Ἑορτὰς καταστησάμενοι, καὶ Αʼποφράδας ἐποίησαν, ἐν αἷς τὰ μὲν ἤργει τῶν ἱερῶν, τὰ δὲ ἐκλείετο. Τῶν δὲ καὶ τὸν Κόσμον ἀφῄρουν, πρὸς τὴν ἀσθένειαν τῆς ἡμετέρας ἀφοσιούμενοι φύσεως. Καὶ κολάσεως δὲ εἶδος εἶναι Αʼθείαν οὐκ ἀπεικός. Τοὺς γὰρ γνόντας Θεοὺς, καὶ καταφρονήσαντας, εὔλογον ἐν ἑτέρῳ βίῳ καὶ τῆς γνώσεως στέρεσθαι, καὶ τοὺς ἑαυτῶν Βασιλέας ὡς Θεοὺς τιμήσαντας, ἔδει τοῦ δίκην αὐτῶν ποιῆσαι τῶν Θεῶν ἐκπεσεῖν.

Ministerio de Educación, Cultura y Deporte

Θυηπολία ἀφρόνων πυρὸς τροφή· τὰ δὲ ἀναθήματα, ἱεροσύλων χορηγία. Φιλήδονον, καὶ φιλοσώματον, καὶ φιλοχρήματον, καὶ φιλόθεον τὸν αὐτὸν ἀδύνατον εἶναι. Ὁ γὰρ φιλήδονος, καὶ φιλοσώματος· ὁ δὲ φιλοσώματος, πάντως καὶ φιλοχρήματος· ὁ δὲ φιλοχρήματος, ἐξ ἀνάγκης ἄδικος· ὁ δ᾽ ἄδικος, εἰς μὲν Θεὸν ἀνόσιος, εἰς δὲ ἀνθρώπους παράνομος. Ὥστε κἂν ἑκατόμβας θύῃ, πολὺ μᾶλλον ἀνοσιώτερος ἐστι, καὶ ἀσεβὴς, καὶ ἄθεος, καὶ τῇ προαιρέσει ἱεροσυλος. Διὸ καὶ πάντα φιλήδονον, ὡς ἄθεον καὶ μιαρὸν ἐκτρέπεσθαι χρή. Demophil. sentent.

Πάντες γὰρ μισοῦσιν οὐχ οὕτω τοὺς ἐξαμαρτάνοντας, ὡς τοὺς ἐπιεικεῖς μὲν φάσκοντας εἶναι, μηδὲν δὲ τῶν τυχόντων διαφέροντας, εἰκότως. Ὅπου γὰρ τοὺς τῷ λόγῳ μόνῳ ψευδομένους ἀποδοκιμάζομεν, ἤ που τοὺς τῷ βίῳ παντὶ ἐλαττουμένους οὐ φαύλους εἶναι φήσομεν; Δικαίως δ᾽ ἂν τοὺς τοιούτους ὑπολάβωμεν, μὴ μόνον εἰς ἑαυτοὺς ἁμαρτάνειν, ἀλλὰ καὶ τῆς τύχης εἶναι προδότας. Ἡ μὲν γὰρ αὐτοῖς χρήματα, καὶ δόξαν, καὶ φίλους ἐνεχείρισεν· οἱ δὲ σφᾶς αὐτοὺς ἀναξίους τῆς ὑπαρχούσης εὐδαιμονίας κατέστησαν. Εἰ δὲ δεῖ Isocrat. ad Demon.

Ministerio de Educación, Cultura y Deporte

θνητὸν ὄντα τῆς τῶν Θεῶν στοχάζεσθαι διανοίας, ἡγοῦμαι κἀκείνους ἐπὶ τοῖς οἰκειοτάτοις μάλιστα δηλῶσαι, πῶς ἔχουσι πρὸς τοὺς φαύλους, καὶ τοὺς σπουδαίους τῶν ἀνθρώπων. Ζεὺς γὰρ Ηρακλέα καὶ Τάνταλον γεννήσας (ὡς οἱ αὐτοὶ λέγουσι καὶ πάντες πιστεύουσι) τὸν μὲν διὰ τὴν ἀρετὴν ἀθάνατον ἐποίησε, τὸν δὲ διὰ τὴν κακίαν ταῖς μεγίσταις τιμωρίαις ἐκόλασεν.

Λόγον περὶ Θεοῦ τοῖς ὑπὸ δόξης διεφθαρμένοις λέγειν οὐκ ἀσφαλές· καὶ γὰρ τ᾽ ἀληθῆ λέγειν ἐπὶ τούτων, καὶ τὰ ψευδῆ, κίνδυνον φέρει.

Æsop. f. 132. Κόραξ νοσῶν ἔφη τῇ μητρί· Μῆτερ, εὔρου τῷ Θεῷ καὶ μὴ θρήνει. Ἡ δ᾽ ὑπολαβοῦσα ἔφη· Τίς σε, ὦ Τέκνον, τῶν Θεῶν ἐλεήσει; Τίνος γὰρ κρέας ὑπὸ σοῦ γε οὐκ ἐκλάπη;

Id. f. 194. Ηρακλῆς ὁ Θεωθεὶς, καὶ παρὰ τῷ Διὶ ἑστιώμενος, ἕνα ἕκαστον τῶν Θεῶν μετὰ πολλῆς φιλοφροσύνης ἠσπάζετο. Καὶ δὴ τελευταίου εἰσελθόντος τοῦ Πλούτου, κατὰ τοὺς ἐδάφους κύψας ἀπεστρέψατο αὐτόν. Ὁ δὲ Ζεὺς θαυμάσας τὸ γεγονὸς, ἐπυνθάνετο αὐτοῦ τὴν αἰτίαν, δι᾽ ἧς πάντας τοὺς δαίμονας ἀσμένως προσαγορεύσας, μόνον τὸν Πλοῦτον ὑποβλέπεται. Ὁ δὲ εἶπεν· ἀλλ᾽ ἔγωγε διὰ τοῦτο αὐτον

ἀποβλέπομαι, ὅτι, παρ᾽ ὃν καιρὸν ἐν ἀνθρώποις ἦμεν, ἑώρων αὐτὸν, ὡς ἐπὶ τὸ πλεῖστον, τοῖς πονηροῖς συνόντα.

Μηδέ ποτ᾽ ἐξ ἠοῦς Διῒ λείβειν αἴθοπα οἶνον
Χερσὶν ἀνίπτοισιν, μηδ᾽ ἄλλοις Ἀθανάτοισιν·
Οὐ γὰρ τοίγε κλύουσιν, ἀποπτύουσι δέ τ᾽ ἀράς. Hesiod. oper. L. 2. v. 337.

---

## ΚΕΦΑΛΑΙΟΝ ή.

Ὁ δὲ Θεὸς πάσης χάριτός ἐστιν· οὐ γὰρ δύναται ἄνθρωπος λαμβάνειν οὐδὲν, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ. Πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι, καταβαῖνον ἀπὸ τοῦ Πατρὸς τῶν φώτων, παρ᾽ ᾧ οὐκ ἔνι παραλλαγὴ, ἢ τροπῆς ἀποσκίασμα. 1. Petr. c. 5. v. 10. Joan. c. 3. v. 27. Jacob. c. 1. v. 17.

Ἄχρι μὲν ὁ βίος ἀμαθὴς ἦν, οὐδέπω τῆς καθ᾽ ἡμέραν πείρας πρὸς τὸ βέλτιον εὐσχολῶν, ἀγαπητῶς ἐπ᾽ αὐτὰ τὰ ἀναγκαῖα συνεστέλλετο. Τῆς δὲ ἀγαθῆς διαίτης ἐπείγων ὁ χρόνος, οὐ παρέσχεν εὕρεσιν. Ἐπειδὴ δὲ αἱ μὲν ἐσπευσμέναι χρεῖαι πέρας εἶχον, οἱ δὲ τῶν ἐπιγνομένων ἀεὶ λογισμοὶ τῆς ἀνάγκης ἀφεθέντες ηὐκαίρουν, ἐπινοεῖν τι τῶν κρειττόνων, ἐκ τούτου κατ᾽ ὀλίγον ἐπιστῆμαι συνηύξοντο. Τοῦτο δ᾽ ἡμῖν ἀπὸ τῶν ἐντελεστέρων τεχνῶν ἔνεστιν εἰκάζειν. Lucian. amores.

Ministerio de Educación, Cultura y Deporte

Αὐτίκα πρῶτοι τινὲς ἄνθρωποι γενόμενοι, τοῦ καθ' ἡμέραν λιμοῦ φάρμακον ἐζήτουν. Εἶθ' ἁλισκόμενοι τῇ πρὸς τὸ παρὸν ἐνδείᾳ, τῆς ἀπορίας οὐκ ἐώσης ἑλέσθαι τὸ βέλτιον, τὴν εἰκαίαν πόαν ἐσιτοῦντο, καὶ μαλθακὰς ῥίζας ὀρύττοντες, καὶ τὰ πλεῖστα δρυὸς καρπὸν ἐσθιόντες. Ἀλλ' ἡ μὲν, ἀλόγοις ζώοις μετὰ χρόνον ἐῤῥίφη. Σπόρον δὲ πυροῦ, καὶ κριθῆς εἶδον αἱ γεωργῶν ἐπιμέλειαι, εὑροῦσαι κατ' ἔτος ἐκνεάζοντα. Καὶ οὐ δὲ μανεὶς ἂν εἴποι τις, ὅτι δρῦς στάχυος ἀμείνων. Τί δ', οὐκ ἐν ἀρχῇ μὲν εὐθὺ τοῦ βίου, σκέπης δεηθέντες ἄνθρωποι, νάκη, θηρία δείραντες, ἠμφιέσαντο, καὶ σπήλυγγας ὀρῶν, κρύους καταδύσεις ἐπενόησαν; ἢ παλαιρίζων, ἢ φυτῶν αὖ κοιλώματα;

Τὴν δὲ ἀπὸ τούτων μίμησιν, ἐπὶ τὸ κρεῖττον ἀεὶ μετάγοντες, ὕφηναν μὲν ἑαυτοῖς χλανίδας, οἴκους δὲ ᾠκίσαντο. Καὶ λεληθότως, αἱ περὶ ταῦτα τέχναι τὸν χρόνον λαβοῦσαι διδάσκαλον, ἀντὶ μὲν λιτῆς ὑφῆς, τὸ κάλλιον ἐποίκιλαν· ἀντὶ δὲ εὐτελων δωματίων, ὑψηλὰ τέρεμνα, καὶ λίθων πολυτέλειαν ἐμηχανήσαντο, καὶ γυμνὴν τοίχων ἀμορφίαν εὐανθέσι βαφαῖς χρωμάτων κατέγραψαν.

Ministerio de Educación, Cultura y Deporte

γραψαν. Πλὴν ἑκάςη γε τέτων τῶν τεχνῶν, καὶ ἐπιςημῶν, ἄφωνος ὖσα, καὶ βαθεῖαν ἐπιτεθειμένη λήθην, ὡς ἀπὸ μικρᾶς λύσεως καταμικρὸν εἰς τὰς ἰδίας ἀνέτειλεν ἀκτῖνας. Ἕκαςος γὰρ εὑρών τι, παρεδίδε τῷ μετ' αὐτόν· εἶθ' ἡ διαδοχὴ τῶν λαμβανόντων, οἷς ἔμαθεν ἤδη προςιθεῖσα, τὸ ἐνδέον ἐπλήρωσε. Καὶ οὐδὲ μανεὶς ἂν εἴποι τις, τὰ τέχνων ἑκάςα ἀπὸ τῆς φυσέως, ἢ τῆς διδασκαλίας, ἀλλ' ἀπὸ τῦ Θεῖυ τῦ μόνυ προς ἔρχεται.

. . . . βροτοὶ ἄνδρες ὁμῶς ἄφατοί τε φατοί τε, Hesiod. oper. L. 1, v. 3.
Ῥητοί τ' ἄῤῥητοί τε, Διὸς μεγάλοιο ἕκητι.
Ῥεῖα δ' ἀρίζηλον μινύθει, καὶ ἄδηλον ἀέξει·
Ῥεῖα δέ τ' ἰθύνει σκολιὸν καὶ ἀγήνορα κάρφει
Ζεὺς ὑψιβρεμέτης, ὃς ὑπέρτατα δώματα ναίει.

. . . . . . . . . . . . . . . . . . . . . . .

. . . . . . . . . . . . . . . . . . . . . . .

Ἥφαιςον δ' ἐκέλευσε περικλυτὸν ὅττι τάχιςα Ibid. v. 60.
Γαῖαν ὕδει φύρειν, ἐν δ' ἀνθρώπε θέμεν αὐδὴν
Καὶ σθένος. Ἀθανάταις δὲ Θεαῖς εἰς ὦπα ἐΐσκειν
Παρθενικαῖς καλὸν εἶδος ἐπήρατον. Αὐτὰρ Ἀθήνην
Ἔργα διδασκῆσαι, πολυδαίδαλον ἱςὸν ὑφαίνειν·
Καὶ χάριν ἀμφιχέαι κεφαλῇ χρυσῆν Ἀφροδίτην.

. . . . . . . . . . . . . . . . . . . . . .

. . . . . . . . . . . . . . . . . . . . . .

. . . . . . . . . . . . . . . . . . . . . .

Ὣς ἔφατ'. Οἱ δ' ἐπίθοντο Διῒ Κρονίωνι ἄνακτι. Ibid. v. 69.
Αὐτίκα δ' ἐκ γαίης πλάσσε κλυτὸς Ἀμφιγυήεις
Παρθένῳ αἰδοίῃ ἴκελον, Κρονίδεω διὰ βελάς·
Ζῶσε δὲ καὶ κόσμησε Θεὰ γλαυκῶπις Ἀθήνη·



Ministerio de Educación, Cultura y Deporte

Αμφι δέ οἱ χάριτές τε Θεαὶ καὶ πότνια Πειθὼ
Ορμȣς χρυσείȣς ἔθεσαν χροΐ· ἀμφὶ δὲ τήν γε
Ωραι καλλικομοι ςέφον ἄνθεσιν εἰαρινοῖσι·
Πάντα δὲ οἱ χροΐ κόσμον ἐφήρμοσε Παλλὰς Αθήνη.

## ΚΕΦΑΛΑΙΟΝ θ'.

Lucian de Deâ Syriâ.

ΠΡΩ͂ΤΟΙ μὲν ὧν ἀνθρώπων, τῶν, ἡμεῖς ἴδμεν, Αἰγύπτιοι λέγονται Θεῶν τε ἐννοίην λαβεῖν, καὶ, (πρὸς τὸ εὐσεβείαν αὐξάνειν,) ἱρὰ εἴσασθαι, καὶ τεμένεα, καὶ πανηγύριας ἀποδεῖξαι. Πρῶτο δὲ καὶ οὐνόματα ἱρὰ ἔγνωσαν, καὶ λογȣς ἱρȣς ἔλεξαν. Μετὰ δὲ, οὐ πολλοςῷ χρόνῳ, παρ' Αἰγυπτίων, λόγον Ασσύριοι ἐς Θεȣ̀ς ἤκȣσαν, καὶ ἱρὰ, καὶ νηοὺς ἤγειραν· ἐν τοῖσι, καὶ ἀγαλματα ἔθεντο, καὶ ξόανα ἐςήσαντο. Τὸ δὲ παλαιὸν καὶ παρ' Αἰγυπτίοισι ἀξόανοι νηοὶ ἔσαν. Τάδε μὲν ἐςι τὰ ἐν τῇ Αἰγύπτῳ, καὶ ἐν τη Ασσύριῃ, καὶ Συρίῃ, καὶ ἐν ἄλλοισιν, πλειςα, καὶ ἀρχαῖα, καὶ μεγάλα ἱρά· οὐδὲν δε τῶν ἐν τῇ ἱρῇ πόλει μεῖζον εμμεναι, οὐδὲ νηὸς ἄλλος ἁγιώτερος, οὐδὲ χώρη ἄλλη ἱροτέρη. Ἔνι δὲ καὶ ἔργα ἐν αὐτῷ πολυτελέα, καὶ ἀρχαῖα ἀναθήματα, καὶ πολλὰ θώυματα, καὶ ξόανα Θεοπρεπέα, καὶ Θεοὶ δὲ καρτὰ αὐτοῖσι ἐμφανέες. Ναὶ μὴν καὶ ὄλβȣ πέρι ἐν τοῖσι πρῶτόν ἐςι.

Ministerio de Educación, Cultura y Deporte

Πολλὰ γὰρ αὐτοῖσι ἀπικνέεται χρήματα, ἔκ τε Αραβίης, καὶ Φοινίκων, καὶ Βαβυλωνίων· τὰ δὲ, καὶ Κίλικες φέρουσι· τὰ δὲ Ασσύριοι. Τὰ δὲ ἐν τῷ νηῷ λάθρῃ ἀποκέαται, ἐσθὴς πολλὴ, καὶ ἄλλα, ὁκόσα ἐς ἄργυρον, ἢ ἐς χρυσὸν ἀποκέκριται· ἑορταὶ μὲν γὰρ, καὶ πανηγύριες οὐδαμοῖσι ἄλλοισι ἀνθρώπον τοσαίδε ἀποδεδέχαται. Περὶ τῷ δὲ ἱρῷ, καὶ τῷ Θεῷ πολλοὶ λόγοι ἐλέγοντο· τῶν, οἱμὲν, ἱροί, οἱδὲ ἐμφανέες· οἱδὲ μυθώδες· καὶ ἄλλοι βάρβαροι· οἱμεν τοῖσι Ελλησι ὁμολογέοντες. Τῶν δε ἑνα μὲν ἐρέω.

Οἱ μὲν ὦν πολλοὶ Δευκαλιωνα τὸν σκύθεα τὸ ἱρὸν εἴσασθαι λέγουσι· τοῦτον Δευκαλίωνα, ἐπὶ τοῦ, τὸ πολλὸν ὕδωρ ἐγένετο. Ο᾽ δὲ μῦθος ὧδε ἔχει.

Ηʹ δε ἡ γενεὴ, οἱ νῦν ἄνθρωποι, οὐ πρῶτοι ἐγένοντο· ἀλλ᾽ ἐκείνη μὲν ἡ γενεὴ, πάντες ὤλοντο. Οὗτοι δὲ, γένεος τοῦ δευτέρου εἰσί· τὸ, αὖτις ἐκ Δευκαλίωνος ἐς πληθὺν ἀπίκετο. Ε᾽κείνων δὲ πέρι τῶν ἀνθρώπων, τάδε μυθέονται. Υ῾βρισταὶ κάρτα ἐόντες, ἀθέμιστα ἔργα ἔπρασσον· οὔτε γὰρ ὅρκια ἐφύλασσον, οὔτε ξείνους ἐδέκοντο, οὔτε ἱκετέων ἠνείχοντο· ἀντ᾽ ὧν σφίσι ἡ μεγάλη συμφορὴ



Ministerio de Educación, Cultura y Deporte

ἀπίκετο. Αὐτίκα ἡ γῆ πολλὸν ὕδωρ ἐκδιδοῖ, καὶ ὄμβροι μεγάλοι ἐγένοντο, καὶ οἱ ποταμοὶ κατέβησαν μέζονες, καὶ ἡ θάλασσα ἐπὶ πολλὸν ανέβη, ἐς ὃ πάντα ὕδωρ ἐγένοντο, καὶ πάντες ὄλοντο. Δευκαλιων δὲ μοῦνος αν'θρωπων ἐλίπετο ἐς γενεὴν δευτερην, εὐβουλίης τε, καὶ τῆς εὐσεβέος εἵνεκα. Ἡ δέ οἱ σωτερίη, ἥδε ἐγένετο.

Λάρνακα μεγάλην, τὴν, αὐτὸς ἔχε, ἐς ταύτην ἐσβιβάσας παῖδάς τε, καὶ γυναῖκα ἑαυτοῦ, ἐσέβη. Ἐσβαίνοντι δὲ οἱ, ἀπίκοντο σύες, καὶ ἵπποι, καὶ λέοντων γένεα, καὶ ὄφιες, καὶ ἄλλα, ὁκόσα ἐν γῆ νέμονται πάντα ἐς ζεύγεα. Ὁ δὲ πάντα ἐδέκετο· καί μιν οὐκ ἐσίνοντο· ἀλλά σφισι μεγάλη διόθεν φιλίη ἐγενετο· καὶ ἐν μιῇ λαρνακι πάντες ἔπλευσαν, ἔστε τὸ ὕδωρ ἐπεκράτε.

Τὰ δὲ ἀπὸ τούτου λεγεται λόγος ὑπὸ τῶν ἐν τῇ ἱρῇ πόλει μεγάλως ἄξιος θωυμασαι, ὅτι χασμα μέγα ἐγενετο, καὶ τὸ συμπαν ὕδωρ κατεδέξατο· Δευκαλίων δέ, ἐπεὶ τάδε ἐγένετο, βωμοὺς τε ἔθετο, καὶ νηὸν ἐπὶ τῷ χάσματι Ἥρης ἅγιον ἐστήσατο. Τὸ δὲ μικρόν ἐστι. Σημα δὲ τῆς ἱστορίης, τόδε πρήσσουσι. Δὶς ἑκάστου ἔτεος ἐκ θαλασσης ὕδωρ ἐς τὸν

Ministerio de Educación, Cultura y Deporte

νηὸν ἀπικνέεται. Φέρουσι δὲ οὐκ ἱρέες μοῦνον, ἀλλὰ πᾶσα Συρίη, καὶ Ἀραβίη, καὶ πέρηθεν τοῦ Εὐφρήτεω, πολλοὶ ἄνθρωποι ἐς θάλασσαν ἔρχονται, καὶ πάντες ὕδωρ φέρουσι, τὸ, πρῶτα μὲν ἐν τῷ νηῷ ἐκχέουσι· μετὰ δὲ ἐς τὸ χάσμα κατέρχεται, καὶ δέκεται τὸ χάσμα μικρὸν ἐὸν οὔδατος χρῆμα πολλόν. Τὰ δὲ ποιέοντες, Δευκαλίωνα ἐν τῷ ἱρῷ τόνδε νόμον θέσθαι λέγουσι, συμφορῆς τε, καὶ εὐεργεσίης μνῆμα ἔμμεναι.

Θῶυμα δὲ καὶ ὁ πρόνηος μέγα παρέχεται, θύρησί τε ἤσκηται χρυσέοισι. Ἔνδοθε δὲ, ὁ νηὸς χρυσοῦ τε πολλοῦ ἀπολάμπεται, καὶ ἡ ὀροφὴ πᾶσα χρυσέη. Ἀπόζει δὲ αὐτοῦ ὀδμὴ ἀμβροσίη, ὁκοίη λέγεται τῆς χώρης τῆς Ἀραβίης· καί σοι τηλόθεν ἀνιόντι προσβάλλει πνοιὴν κάρτα ἀγαθήν· καὶ ἢν αὖτις ἀπίῃς οὐδαμᾶ λείπεται, ἀλλά σευ τά τε εἵματα ἐς πολλὸν ἔχει τὴν πνοιὴν, καὶ σὺ ἐς πάμπαν αὐτῆς μνήσεαι. Ἔνδοθεν δὲ ὁ νηὸς οὐκ ἁπλόος ἐστὶ, ἀλλὰ ἐν αὐτῷ θάλαμος ἄλλος πεποίηται· ἄνοδος καὶ ἐς τοῦτον ὀλίγη· θύρῃσι δὲ οὐκ ἤσκηται, ἀλλ᾽ ἐς ἀντίον ἅπας ἀναπέπταται. Ἐς μὲν οὖν τὸν μέγαν νηὸν, πάντες εἰσέρχονται. Ἐς δὲ τὸν θάλαμον, οἱ



Ministerio de Educación, Cultura y Deporte

ἱρέες μοῦνον· οὐ μέν τοι πάντες ἱρέες, ἀλλὰ τοὶ μαλιστα ἀρχίθεοί τε εἰσι, καὶ τοῖσι πᾶσα ἐς τὸ ἱρὸν μέλεται θεραπείη· ἐν δὲ τῷδε εἵαται τὰ ἕδεα.

Εργων δὲ περὶ, καὶ λίθων καρτα πολυτελέων, πολλὰ μὲν ἔχω εἰπεῖν· τῶν, οἱ μὲν λευκοί· οἱδὲ ὑδατώδεες· πολλοι δ᾽ πυῤῥώδεες· ἔτι δὲ ὄνυχες οἱ σαρδῷοι, πολλοι καὶ ὑάκινθοι, καὶ σμάραγδοι, τὰ φερουσι Αἰγύπτιοι, καὶ Ινδοὶ, καὶ Αἰθίοπες, καὶ Μῆδοι, καὶ Αρμένοι, καὶ Βαβυλώνιοι, τοὺς δὲ ἱρέας καὶ τὰς θυσίας ἀπηγήσομαι.

Ε᾽ν τῇ αυλῇ ἄφετοι νέμονται βόες μεγάλοι, καὶ ἵπποι, καὶ ἀετοὶ, καὶ ἄρκτοι, καὶ λέοντες· καὶ ἀνθρώπους οὐδαμᾶ σίνονται, ἀλλὰ πάντες ἱροί τέ εἰσι, καὶ χειροήθεις. Ι῾ρέες δὲ αὐτοῖσι πολλοὶ ἀποδεδέχαται· τῶν οἱ μὲν τὰ ἱρήϊα σφάζουσι· οἱ δὲ σπονδὴν φορέουσι· ἄλλοι δὲ πυρφοροι καλέονται, καὶ ἄλλοι παραβώμιοι. Ε᾽σθὴς δὲ αὐτέοισι πᾶσα λευκή· καὶ πῖλον ἐπὶ τῇ κεφαλῇ ἔχουσι. Α᾽ρχιερεὺς δὲ ἄλλος ἑκάστου ἔτεος ἐπιγίγνεται· πορφυρέην δὲ μοῦνος οὗτος φορεει, καὶ τιάρῃ χρυσέῃ ἀναδέεται. Ε᾽στι δὲ καὶ ἄλλο πλῆθος ἀνθρώπων ἱρῶν, αὐλητέων τὲ καὶ συριστέων, καὶ Γάλλων.

Ministerio de Educación, Cultura y Deporte

Θυσίη δὲ δὶς ἑκάστης ἡμέρας ἐπιτελέεται, ἐς τὴν πάντες ἀπικνέονται.

Ἑορτέων δὲ πασέων μεγίστην τῦ εἴαρος ἀρχομένυ ἐπὶ τε λεῦσι· κὴ μιν οἱ μὲν πυρὴν, οἱδὲ λαμπάδα καλέϋσι· Θυσίην δὲ ἐν αὐτῇ τοιήνδε ποιέϋσι. Δένδρεα μεγάλα ἐκκόψαντες, ἐν τῇ αὐλῇ ἑστᾶσι· μετὰ δὲ ἀγινέοντες αἶγάς τε, καὶ ὄιας, κὴ ἄλλα κτήνεα ζωὰ, ἐκ τῶν δενδρέων ἀμαρτέϋσι. ἐν δὲ καὶ ὄρνιθες, κὴ εἵματα, κὴ χρύσεα, κὴ ἀργύρεα ποίηματα. Ἐπεὰν δὲ ἐντελέα πάντα ποιήσωνται, περιενείκαντες τὰ ἱρὰ περὶ τὰ δένδρεα, πυρὴν ἐνιᾶσι· τὰ δὲ αὐτίκα πάντα καίονται. Ἐν ῥητῇσι δὲ ἡμέρῃσι, τὸ μὲν πλῆθος, ἐς τὸ ἱρὸν ἀγείρονται. Γάλλοι δὲ πολλοὶ, καὶ τὺς ἔλεξα, οἱ ἱροὶ ἄνθρωποι τελέϋσι τὰ ὄργια. Πολλοὶ δέσφισι παρεστεῶτες, επαυλέϋσι· πολλοὶ δε τύμπανα παταγέϋσι· ἄλλοι δὲ ἀείδϋσι ἔνθεα, καὶ ἱρὰ ἄσματα.

Καὶ μοι τὸ ἅγιον ποιησυσι, καὶ ἐγὼ ἐν τῷ μισῷ τύτων οἴκησω, πρὸς ἅπαντι τῷ τῦ σκήνοματος ὁμοιότητι, ὁ ἐγὼ σοι δείξω, κὴ τῶν ὅλων σκυων κατὰ τὴν αὐτῦ θεραπείαν. Exod. 25.
Ἐπὶ τὸν χωρον, τὸν ἐκλειται ὁ Θεος υμων, ἔλθοντες ὧδε τὰ σφαγιαξεσθε κὴ τὰ ὁλοκαύ- Deuter. 12.

Ministerio de Educación, Cultura y Deporte

Matth. c. 21. v. 13. τώσετε· γέγραπται γάρ· ὁ οἶκος μȣ οἶκος
1. Corint6. c. 3. v. 17. προσευχῆς κλήθησέται. Εἰ τὶς δὲ τὸν ναὸν
Matth. c. 12. v. 12. τȣ̃ Θεȣ̃ φθειρεῖ, φθορεῖ τȣ̃τὸν ὁ Θεὸς. Εἰσῆλθεν ὁ Ἰησοῦς εἰς τὸ ἱερον τȣ̃ Θεȣ̃, καὶ ἐξέβαλε, πάντας τȣ̀ς πωλȣ̃ντας, καὶ ἀγοράζοντας ἐν τῷ ἱερῳ, καὶ τὰς τραπέζας τῶν κολυβιςῶν κατέςρεψεν, καὶ τὰς καθέδρας τῶν
Luc. c. 19. a. 46. πωλȣντῶν περιςέρας, καὶ λέγει αὐτοῖς· ὁ οἶκος προσευχῆς ἐςιν, ὑμεῖς δὲ αὐτον ἐποιήσατε σπήλαιον λῃςῶν.

---

## ΚΕΦΑΛΑΙΟΝ κ΄.

Matth. c. 7. v. 7. ΑΙΤΕΙΤΕ, καὶ δοθήσεται ὑμῖν· ζετεῖτε καὶ εὑρήσετε· κρȣ́ετε καὶ ἀνοιγήσεται ὑμῖν. Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται. Ἠ' τίς ἐςὶν ἐξ ὑμῶν ἄνθρωπος, ὅν ἐαν αἰτήσῃ ὁ ὑιός αὐτȣ̃ ἄρτον, μὴ λίθον ἐπιδώσῃ αὐτῷ, εἰ οὖν ὑμεῖς πονηροὶ, οἴδατε δόματα ἀγαθα διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ Πατηρ ὑμῶν, ὁ ἐν τοῖς ȣ̓ρανοῖς, δώσῃ ἀγαθα τοῖς αἰτȣ̃σιν αὐτὸν; Πάντα ȣ̃ν ἄν θέλητε, ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, ȣ̃τω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς· ȣ̃τος γάρ ἐςιν ὁ νόμος καὶ οἱ Προφῆται.

Ministerio de Educación, Cultura y Deporte

Θεοῖς εὔχȣ, οἷς ἐςι μέγα κράτος· ȣ̓́τι ἄτερ Θεῶν Theognid. v. 171.
Γίγνεται ἀνθρώποις ȣ̓́τ' ἀγαθ' ȣ̓́τε κακά.
Πρῶτα μὲν ευχώμεθα Διῒ Κρονίδη βασιλῆϊ, Solon sunt. ex Clement.
Θεσμοῖς τοῖσδε τύχην ἀγαθὴν καὶ κῦδος ὀπάσσαι·
Μνημοσύνης καὶ Ζηνὸς ὀλυμπίȣ ἀγλαὰ τέκνα,
Μȣ̃σαι Πιερίδες, κλῦτέ μοι εὐχομένῳ.
Ο῎λβον μοι πρὸς Θεῶν μακάρων δοτε, ϗ πρὸς ἁπάντων
Α'νθρώπων αἰεὶ δόξαν ἔχειν ἀγαθὴν.
Εἶναι δὲ γλυκῦν ὧδε φιλοῖς ἐχθροῖσι δὲ πικρόν.
Τοῖσι μὲν αἰδοῖον τοῖσι δὲ δεῖνον ἰδεῖν.
Χρήματα δ' ἱμείρω μὲν ἔχειν ἀδίκως δὲ πεπᾶσθαι
Οὐκ ἐθέλω πάντως ὕςερον ἦλθε δίκη.
Πλȣ̃τον δ' ὃν μὲν δῶσι Θεοὶ, παραγίγνεται ἀνδρὶ
Ε῎μπεδος ἐκ νεάτȣ πυθμένος ἐς κορυφήν.

Αἰτησάμενος οὐ καθέξεις μὴ αἰτȣ̃ παρὰ Θεȣ̃· δῶρον γὰρ Θεȣ̃ πᾶν ἀναφαίρετον. ὥςε οὐ δώσῃ ὅ μὴ καθέξεις. Δῶρα καὶ θυσίαι Θεὸν ȣ̓ τιμῶσιν, ἀναθήματα Θεὸν ȣ̓ κοσμεῖ. ἄλλα τὸ ἔνθεον φρόνημα διαρκῶς συνάπτει Θεῷ· χωρεῖν γὰρ ἀνάγκη τὸ ὅμοιον πρὸς τὸ ὅμοιον. Γλωσσαλγὸς ἄνθρωπος καὶ ἀμαθὴς, εὐχόμενος καὶ θύων τὸ Θεῖον μιαίνει. Μόνος ȣ̓̃ν ἱερεὺς ὁ σοφὸς, μόνος θεοφιλὴς, μόνος εἰδὼς εὔχεσθαι. Demoph. sent.

Μή μ' ἔπεσιν μὲν σέργε, νόον δ' ἔχε καὶ φρένας αλλῇ, Theognid. v. 87.
Εἴ με φιλεῖς, καὶ σοι πιςὸς ἔνεςι νόος
Η῎ με φίλει καθαρὸν θέμενος νόον, ἤ μ' ἀποειπὼν
Ε῎χθαιρ' ἀμφαδίην νεῖκος ἀειράμενος.

Καὶ ὅταν προσεύχῃ, ȣ̓κ ἔσῃ ὥσπερ οἱ Matth. c. 6. v. 9.

Ministerio de Educación, Cultura y Deporte

Ὑποκριταί, ὅτι φιλοῦσιν ἐν ταῖς Συναγωγαῖς· καὶ ἐν ταῖς γονίαις τῶν πλατειῶν ἑστῶτες προσεύχεσθαι, ὅπως ἂν φανῶσι τοῖς ἀνθρώποις. Ἀμὲν λέγω ὑμῖν, ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν. Σὺ δὲ ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμεῖόν σου, καὶ κλείσας τὴν θύραν σου, πρόσευξαι τῷ Πατρί σου, τῷ ἐν τῷ κρυπτῷ, καὶ ὁ Πατὴρ σου, ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν πῷ φανερῷ.

Πρὸσευχόμενοι δὲ μὴ βατΊολογήσητε, ὥσπερ οἱ Ἐθνοικοί· δοκοῦσι γὰρ, ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακουσθήσονται. Μὴ οὖν ὁμοιωθῆτε αὐτοῖς· οἶδεν γὰρ ὁ Πατὴρ ὑμῶν, ὧν, χρεί αν ἔχετε, πρὸ τοῦ ὑμᾶς αἰτῆσαι αὐτοῦ· οὕτως οὖν προσκύχεσθε ὑμεῖς.

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτο τὸ ονομά σου· ἐλθέτο ἡ βασιλεία σου· γεινηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ὑμῶν τὸν ἐπιούσιον δὸς ὑμῖν σήμερον, καὶ ἄφευ ὑμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσείνεγκῃς ἡμᾶς εἰς πειρασμὸν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ἐάν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ Πατὴρ

Ministerio de Educación, Cultura y Deporte

ὑμῶν, ὁ ȣράνιος. Ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπλώματα αὐτῶν, ȣδὴ ὁ Πάτηρ ὑμῶν ἀφήσει τὰ παραπλώματα ὑμῶν.

---

## ΚΕΦΑΛΑΙΟΝ κά.

### ΔΙΑΛΟΓΟΣ

Ex Platon. Alcibiad. 2.

Τι δὲ προσευχόμεθα, ὥσπερ δεῖ, ȣ̓κ οἴδαμεν.

### ΣΟΚΡΑ'ΤΗΣ, Α'ΛΚΙΒΙΑ'ΔΗΣ.

Σ. Ὦ Ἀλκιβιάδη, ἀπάγε πρὸς τὸν Θεὸν προσευξόμενος πορεύῃ, Α. Πάνυ μὲν ȣ̓̃ν, ὦ Σώκρατες. Σ. Φαίνῃ γέ τι εσκυθρωπακέναι τε καὶ εἰς γῆν βλέπειν, ὥς τις συννοȣ́μενος. Α. Καὶ τί ἂν τις συννοοῖτο, ὦ Σώκρατες; Σ. Τὴν μεγίςην σύννοιαν, ὥς γε μοι δοκεῖ. Ἐπεὶ, φέρε πρὸς Διὸς, ȣ̓κ οἴει τȣ̀ς Θεȣ̀ς, ἃ τυγχάνομεν εὐχόμενοι καὶ ἰδία, καὶ δημοσία, ἐνίοτε τȣ́των τὰ μὲν διδόναι, τὰ δ᾽ ȣ̓̓; καὶ ἔςιν οἷς μὲν αὐτῶν, ἔςι δὲ οἷς ȣ̓̓; Α. Πάνυ μὲν ȣ̓̃ν. Σ. Οὐκȣ̃ν δοκεῖ σοι πολλῆς προμηθείας γε προσδεῖσθαι, ὅπως μὴ λήσῃ τὶς αὐτὸν εὐχόμενος μεγάλα κακὰ, δοκῶν δ᾽ ἀγαθὰ; Οἱ δε Θεοὶ τύχωσιν ἐν ταύτῃ ὄντες τῇ ἕξει, ἐν ᾗ διδόασιν αὐτοὶ ἅτις εὐχόμενος τυγχάνει; Ὥσπερ τὸν Οι-

Ministerio de Educación, Cultura y Deporte

διπου αὐτίκα φασὶν εὔξασθαι, χαλκῷ διελέσθαι τοὺς υἱεῖς τὰ πατρῷα· ἐξὸν αὐτῷ τῶν παρόντων κακῶν ἀποτροπήν τινα εὔξασθαι, ἕτερα πρὸς τοῖς ὑπάρχουσι κατηρᾶτο. Τοιγαροῦν ταῦτά τε ἐξετελέσθη, καὶ ἐκ τούτων ἄλλα πολλὰ καὶ δεινα· ἅ τι δεῖ καθέκαστα λέγειν; Α. Ἀλλὰ σὺ μὲν μαινόμενον ἄνθρωπον εἴρηκας· ἐπεὶ τίς ἄν σοι δοκῇ τολμῆσαι ὑγιαίνων τοιαῦτ᾽ εὔξασθαι;

Σ. Τὸ μαίνεσθαι ἆρά γε ὑπεναντίον σοι δοκεῖ τῷ σωφρονεῖν; Α. Πάνυ μὲν οὖν. Σ. Ἄφρονες δὲ καὶ φρόνιμοι δοκοῦσιν ἄνθρωποι εἶναι τινές σοι; Α. Εἶναι μέν τοι. Σ. Φέρε δὴ, ἐπισκεψώμεθα, τίνες ποτ᾽ εἰσίν οὗτοι· ὅτι μὲν γὰρ εἰσί τινες ὡμολόγηται, ἄφρονές τε καὶ φρόνιμοι, καὶ μαινόμενοι ἕτεροι. Α. Ὡμολόγηται γάρ.

Σ. Ἔτι δὲ ὑγιαίνοντες εἰσὶ τινες; Α. Εἰσίν. Σ. Οὐκοῦν καὶ ἀσθενοῦντες ἕτεροι; Α. Πάνυ γε. Σ. Οὐκοῦν οὐχ οἱ αὐτοί; Α. Οὐ γάρ. Σ. Ἆρ᾽ οὖν καὶ ἕτεροί τινές εἰσιν, οἳ μὴ δὴ ἕτερα τούτων πεπόνθασιν; Α. Οὐ δῆτα. Σ. Ἀνάγκη γάρ ἐστιν ἄνθρωπον ὄντα νοσεῖν, ἢ μὴ νοσεῖν. Α. Ἔμοιγε δοκεῖ. Σ. Τί δέ; περὶ φρονήσεως καὶ ἀφροσύνης ἆρά γε τὴν αὐτὴν

ἔχεις γνώμην; Α. Πῶς λεγεις; Σ. Δοκεῖ σοι οἷόν τε εἶναι ἢ φρόνιμον, ἢ ἄφρονα; ἢ ἐςὶ τί διαμέσυ τρίτον πάθος, ὅ εποίει τὸν ἄνθρωπον μήτε φρόνιμον, μήτε ἄφρονα; Α. Ο'υ δῆτα. Σ. Α'νάγκη ἄρα ἐςὶ τὸ ἕτερον τύτων πεπονθέναι. Α. Ε'μοιγε δοκεῖ.

Σ. Οὐκοῦν μέμνησαι ὁμολογήσας ὑπεναντίον εἶναι μανίαν φρονήσει; Α. Ε'γωγε. Σ. Οὐκῦν καὶ μηδὲν εἶναι διὰ μέσυ τρίτον πάθος, ὃ ποιεῖ τὸν ἄνθρωπον μήτε φρόνιμον, μήτε ἄφρονα εἶναι; Α. Ω'μολόγησα γάρ. Σ. Καὶ μὴν δυογε ὑπεναντία ἑνὶ πράγματι πῶς ἂν εἴη; Α. Οὐδαμῶς Σ. Α'φροσύνη ἄρα καὶ μανία κινδυνεύει ταυτὸν εἶναι. Α. Φαινεται. Σ. Πάντας οὖν ἂν φάντες, τὺς ἄφρονας μαίνεσθαι, ὀρθῶς ἂν φαίημεν; Α. Ναί· Σ. Αὐτίκα, τῶν σῶν ἡλικιωτῶν, εἴ τινες τυγχάνυσι ἄφρονες ὄντες, ὥσπερ εἰσί, καὶ τῶν ἔτι πρεσβυτέρον. Ε'πεὶ, φερε πρὸς Διὸς, οὐκ οἴει τῶν ἐν τῇ πολει ὀλίγυς μὲν εἶναι τὺς φρονίμυς, ἄφρο δὲ τὺς πολλὺς, οὓς δὴ σὺ μαινομένυς καλεις; Α. Ε'γογε. Σ. Ο'ίῃ ἂν ὖν χαίροντας ἡμᾶς εἶναι μετὰ τοσύτων μαινομένων πολιτευομένυς; Καὶ οὐκ ἂν παιομένυς καὶ βαλλομένυς, καὶ

Ministerio de Educación, Cultura y Deporte

ἅπερ εἰώθασιν οἱ μαινόμενοι διαπράττεσθαι, πάλαι δίκην δεδωκέναι; Ἀλλ᾽ ὅρα, ὦ μακάριε, μὴ οὐχ οὕτω ταυτ᾽ ἔχει. Α. Πῶς ἂν οὖν ποτ᾽ ἔχοι, ὦ Σώκρατες; Κινδυνεύει γὰρ οὐχ οὕτως ἔχειν, ὥσπερ ᾠήθεν. Σ. Οὐδ᾽ ἐμοὶ δοκεῖ. Ἀλλὰ τῇδέ πη ἀθρητέον. Α. Πῆ ποτε λεγεις; Σ. Ἐγὼ δή σοι γε ἐρῶ.

Ὑπολαμβάνομεν γέ τινας εἶναι νοσοῦντας, ἢ οὔ; Α. Πανυ μὲν οὖν, Σ. Ἆρ᾽ οὖν δοκεῖ σοι ἀναγκαῖον εἶναι τὸν νοσοῦντα ποδαγρᾷν, ἢ πυρέττειν, ἢ ὀφθαλμιᾷν; ἢ οὐκ ἂν δοκῇ σοι, καὶ μηδὲν τούτων πεπονθὼς, ἑτέραν νοσεῖν νόσον; πολλαὶ γὰρ δή πυ γε εἰσὶ, καὶ οὐχ αὗται μόναι, Α. Ἔμοι γε δοκοῦσιν. Σ. Οφθαλμία οὖν σοι δοκεῖ πᾶσα, νόσος εἶναι; Α. Οὐ δῆτα ἔμοιγε. Ἀπορῶ μέν τοιγε πῶς λέγω. Σ. Ἀλλ᾽ ἐὰν ἔμοιγε προσέχης τὸν νοῦν, συντε δυο σκεπτομένω, σχεδὸν εὑρήσομεν. Α. Ἀλλὰ προσέχω, ὦ Σώκρατες, εἰς δύναμιν τὴν ἐμήν.

Σ. Οὐκοῦν ὡμολογήθη ἡμῖν ὀφθαλμία μὲν πᾶσα, νόσος εἶναι, νόσος μὲν τοι οὐκ εἶναι πᾶσα, ὀφθαλμία; Α. Ὡμολογήθη. Σ. Καὶ ὀρθῶς γέ μοι δοκεῖ ὁμολογηθῆναι. Καὶ γὰρ οἱ πυρέττοντες πάντες νοσοῦσιν, οὐ

Ministerio de Educación, Cultura y Deporte

μέν τοι οἱ νοσῦντες πάντες πυρέττουσιν, ὐδὲ ποδαγριῶσιν, ὐδέ γε ὀφθαλμιῶσιν, οἶμαι. Α᾿λλὰ νόσος μὲν πᾶν τὸ τοιῦτόν ἐςι, διαφέρειν δή φασιν, οὓς δὴ καλοῦμεν ἰατρὺς, τὴν ἀπεργασίαν αὐτῶν. Οὐ γὰρ πᾶσαι, ὔτε ὅμοιαι, οὔτε ὁμοίως διαπράττονται, ἀλλὰ κατὰ τὴν αὐτὴν δύναμιν ἑκάςη· νόσοι μέν τοι πᾶσαί εἰσιν, ὥσπερ δημιουργούς τινας ὑπολαμβάνομεν, ἢ ὔ; Α. Πάνυ μὲν ὖν. Σ. Οὐκῦν τὺς σκυτοτόμυς, καὶ τέκτονας, καὶ ἀνδριαντοποιὺς καὶ ἑτέρυς παμπλήθεις, οὓς τί δεῖ κατέκαςα λέγειν; ἔχυσι δ᾿ ὖν διειληφότες δημιυργίας μέρη, καὶ πάντες ὗτοί εἰσι δημιύργοί. Οὐ μέν τοι εἰσὶ τέκτονές γε, οὐδὲ σκυτοτόμοι, οὐδὲ ἀνδριαντοποιοί, οἱ σύμπαντές εἰσι δημιύργοί. Α. Οὐ δῆτα.

Σ. Οὕτω μὲν ὖν καὶ τὴν ἀφροσύνην διειληφότες εἰσὶ, καὶ τοὺς μὲν πλεῖςον μέρος αὐτῆς ἔχοντας, μαινομένυς καλῦμεν. τοὺς δ᾿ ὀλίγον ἔλαττον, ἠλιθίυς τε καὶ ἐμβροντήτυς. Οἱ δὲ ἐν εὐφημοτάτοις ὀνόμασι βυλόμενοι κατονομάζειν, οἱ μὲν μεγαλοψύχυς, οἱ δὲ, εὐήθεις· ἕτεροι δὲ, ἀκάκυς, καὶ ἀπείρυς, καὶ ἐννεύς. Εὑρήσεις δὲ καὶ ἕτερα

Ministerio de Educación, Cultura y Deporte

πολλὰ ἀναζητῶν ὀνόματα. Πάντα δὲ ταῦτα ἀφροσύνη ἐστί· διαφέρει δὲ, ὥσπερ τέχνη τέχνης ἡμῖν κατεφαίνετο, καὶ νόσος νόσου. Ἢ πῶς σοι δοκεῖ; Α. Ἐμοὶ μὲν οὕτω.

Σ. Οὐκοῦν ἀπ' ἐκείνου πάλιν ἐπανέλθωμεν. Ἦν γὰρ δή που ἐν ἀρχῇ τοῦ λόγου, σκεπτέον εἶναι τοὺς ἄφρονάς τε, καὶ φρονίμους, τίνες ποτ' εἰσίν. Ὡμολόγητο γὰρ εἶναι τινας· ἢ γὰρ οὔ; Α. Ναὶ ὡμολόγηται. Σ. Ἆρ οὖν τούτους φρονίμους ὑπολαμβάνεις, οἳ ἃ εἰδῶσιν ἅττα δεῖ πράττειν καὶ λέγειν; Α. Ἔγωγε. Σ. Ἄφρονας δὲ ποτέρους; Ἆρα γε τοὺς μὴ δ' ἕτερα τούτων εἰδότας; Α. Τούτους. Σ. Οὐκοῦν οἵγε μὴ εἰδότες μὴ δ' ἕτερα τούτων, λήσουσιν αὐτοὺς καὶ λέγοντας, καὶ πράττοντας ἅττα μὴ δεῖ. Α. Φαίνεται.

Σ. Τούτων μέν τοι ἔλεγον, ὦ Ἀλκιβιάδη, καὶ τὸν Οἰδίπουν εἶναι τῶν ἀνθρώπων. Εὑρήσεις δὲ καὶ τῶν νῦν ἔτι πολλοὺς οὐκ ὀργῇ κεχρημένους, ὥσπερ ἐκεῖνον, οὐδ' οἰομένους κακὰ σφίσιν εὔχεσθαι, ἀλλ' ἀγαθά· ἐκεῖνος μὲν, οὐδ' ηὔχετο, ὥσπερ οὐδ' ᾤετο· ἕτεροι δὲ τινές εἰσιν οἱ τ'ἀναντία τούτων πεπόνθασιν. Ἐγὼ μὲν γὰρ οἶμαί σε, εἴ σοι ἐμφανὴς γενόμενος ὁ Θεὸς πρὸς ὃν τυγχάνεις,

πορευόμενος,

Ministerio de Educación, Cultura y Deporte

πορευόμενος, ἐρωτήσειε, πρὶν ὁτιοῦν εὔξασθαί σε, εἰ ἐξαρκέσει σοι τύραννον γενέσθαι τῆς Ἀθηναίων πόλεως· εἰ δὲ τοῦτο φαῦλον ἡγήσαιο καὶ μὴ μέγα τί, προσθείη, καὶ πάντων τῶν Ἑλλήνων· εἰ δέ σε ὁρῴη ἔτι ἔλαττον δοκοῦντα ἔχειν, εἰ μὴ καὶ πάσης Εὐρώπης ὑπόσχοιτο σοι, καὶ τοῦτο μὴ μόνον ὑπόσχοιτο, αὐθημερὸν σοῦ βουλομένου ὡς πάντας αἰσθέσθαι ὅτι Ἀλκιβιάδης ὁ Κλεινίου τύραννός ἐστιν, αὐτὸν οἶμαι ἄν σε ἀπιέναι περιχαρῆ γενόμενον, ὡς τῶν μεγίστων ἀγαθῶν κεκυρηκότα. Α. Ἐγὼ μὲν οἶμαι, ὦ Σώκρατες, κἂν ἄλλον ὁντινοῦν, εἴπερ τοιαῦτα συμβαίη αὐτῷ.

Σ. Ἀλλὰ μέν τοι ἀντί γε τῆς σῆς ψυχῆς, οὐδ' ἂν τὴν πάντων Ἑλλήνων καὶ Βαρβάρων χώραν τε καὶ τυραννίδα βουληθείης σοι γένεσθαι; Α. Οὐκ οἴομαι ἔγωγε. Πῶς γὰρ ἂν; μηδέν γέ τι μέλλων αὐτοῖς χρῆσθαι; Σ. Τί δ' εἰ μέλλεις κακῶς τε καὶ βλαβερῶς χρῆσθαι; οὐδ' ἂν οὕτως; Α. Οὐ δῆτα. Σ. Ὁρᾷς οὖν ὡς οὐκ ἀσφαλὲς, οὔτε τὰ διδόμενα εἰκῇ δέχεσθαί τε, οὔτε αὐτὸν εὔχεσθαι γενέσθαι, εἴγέ τις βλάπτεσθαι μέλλει διὰ ταῦτα, ἢ τοπαράπαν τοῦ βίου ἀπαλλαγῆναι.

Πολλοὺς δ' ἂν ἔχοιμην εἰπεῖν, ὅσοι τυραννίδος ἐπιθυμήσαντες ἤδη, καὶ σπουδάσαντες τοῦτ' αὐτοῖς παραγενέσθαι, ὡς ἀγαθόν τι πράξοντες, διὰ τὴν τυραννίδα ἐπιβουλευθέντες τὸν βίον ἀφῃρέθησαν. Οἶμαι δὲ σε οὐκ ἀνήκοον εἶναι ἔνιά γε χθιζά τε καὶ πρωϊζὰ γεγενημένα, ὅτε Ἀρχέλαον τὸν Μακεδόνων τύραννον τὰ παιδικὰ ἐρασθέντα τῆς τυραννίδος, οὐθὲν ἧττον ἤπερ ἐκεῖνος τῶν παιδικῶν, ἀπέκτεινε τὸν ἐραστὴν, ὡς τύραννός τε καὶ εὐδαίμων ἀνὴρ ἐσόμενος. Κατασχὼν δὲ τρεῖς ἢ τέτταρας ἡμέρας τὴν τυραννίδα, πάλιν αὐτὸς ἐπιβουλευθεὶς ὑφ' ἑτέρων τινῶν ἐτελεύτησεν.

Ὁρᾷς δὴ καὶ τῶν ἡμετέρων πολιτῶν (ταῦτα γὰρ οὐκ ἄλλων ἀκηκόαμεν, ἀλλ' αὐτοὶ παρόντες οἴδαμην) ὅσοι στρατηγίας ἐπιθυμήσαντες ἤδη, καὶ τυχόντες αὐτῆς, οἱ μὲν ἔτι καὶ νῦν φυγάδες τῆς δὲ τῆς πόλεώς εἰσιν, οἱ δὲ τὸν βίον ἐτελεύτησαν. Οἱ δὲ ἄριστα δοκοῦντες αὐτῶν πράττειν, διὰ πολλῶν κινδύνων ἐλθόντες καὶ φόβων, οὐ μόνον ἐν ταύτῃ τῇ στρατηγίᾳ, ἀλλ' ἐπεὶ εἰς τὴν ἑαυτῶν κατῆλθον, ὑπὸ τῶν συκοφαντῶν πολιορκούμενοι πολιορκίαν, οὐδὲν ἐλάττω τῆς ὑπὸ τῶν

Ministerio de Educación, Cultura y Deporte

πολεμίων διετέλεσαν· ὥστε ἐνίους αὐτῶν εὔχεσθαι ἀστρατηγήτους εἶναι μᾶλλον, ἢ ἐστρατηγηκέναι. Εἰ μὲν οὖν ἦσαν οἱ κίνδυνοί τε καὶ πόνοι φέροντες εἰς ὠφέλειαν, εἶχεν ἄν τινα λόγον· νῦν δὲ καὶ πολὺ τοὐναντίον.

Εὑρήσεις δὲ καὶ περὶ τέκνον τὸν αὐτὸν τρόπον, εὐξαμένους τινὰς ἤδη γενέσθαι, καὶ γενομένων εἰς ξυμφοράς τε καὶ λύπας τὰς μεγίστας καταστάντας. Οἱ μὲν γὰρ, μοχθηρῶν διατέλους ὄντων τῶν τέκνων, ὅλον τὸν βίον λυπούμενοι διήγαγον· τοὺς δὲ, χρηστῶν μὲν γενομένων, συμφοραῖς δὲ χρησαμένων, ὥστε στερηθῆναι, καὶ τούτους οὐδὲν εἰς ἐλάττονας δυστυχίας καθεστηκότας ἤπερ ἐκείνους· καὶ βουλομένους ἂν ἀγέννητα μᾶλλον εἶναι, ἢ γενέσθαι. Ἀλλ' ὅμως τούτων τε καὶ ἑτέρων πολλῶν ὁμοιοτρόπων τούτοις οὕτω σφόδρα καταδήλων ὄντων, σπάνιον εὑρεῖν ὅστις ἂν ἢ διδομένων ἀπόσχοιτο, ἢ μέλλων δι' εὐχῆς τεύξεσθαι, παύσαιτο ἂν εὐχόμενος.

Οἱ δὲ πολλοὶ οὔτε στρατηγίας, οὐδ' ἑτέρων πολλῶν, ἃ παρόντα βλάπτει μᾶλλον ἢ ὠφελεῖ. Ἀλλὰ κἂν εὔξαιντο ἂν γενέσθαι, εἰ τῷ μὴ παρόντα τυγχάνει. Ολίγον δὲ



Ministerio de Educación, Cultura y Deporte

ἐπιχόντες ἐνιοτε παλινῳδουσιν, ἀνευχόμενοι ἅτΊ ἂν τοπρῶτον εὔξωνΊαι. Ἐγὼ μὲν οὖν ἀπορῶ, μὴ ὡς ἀληθῶς μάτην Θεοὺς ἄνθρωποι αἰτιῶνται, ἐξ ἐκείνων φάμϑοι κακὰ σφίσιν εἶναι. Οἱ δὲ, καὶ αὐτοὶ σφῇσιν εἴτε ἀτασθαλίαισιν, εἴτε ἀφροσύναις χρὴ εἰπεῖν, ὑπὲρ μόρον ἄλγε' ἔχουσι.

Κινδυνεύει γ' ἂν, ὦ Ἀλκιβιάδη, φρόνιμός τις εἶναι ἐκεῖνος ὁ ποιητὴς, ὃς, δοκεῖ μοι, φίλοις ἀνόητοις τισὶ χρησάμϑος, ὁρῶν αὐτοὺς καὶ πράτΊοντας καὶ εὐχομένους ἅπερ οὐ βέλτιον ἦν, ἐκείνοις δ' ἐδόκει, κοινῇ ὑπὲρ ἁπάντων αὐτῶν εὐχὴν ποιήσασθαι. Λέγει δέ πως ὡδί· » Ζεῦ βασιλεῦ, τὰ μὲν » ἐσθλά (φησι) καὶ εὐχομένοις καὶ ἀνεύκ- » τοις Ἄμμι δίδου. Τὰ δὲ δεινὰ καὶ εὐχο- » μένοις ἀπαλέξειν Κελευει. » Ἐμοὶ μὲν οὖν καλῶς δοκεῖ καὶ ἀσφαλῶς λέγειν ὁ ποιητής. Σὺ δ' εἴτι ἐν νῷ ἔχεις πρὸς ταῦτα, μὴ σιώπα. Α. Χαλεπὸν, ὦ Σώκρατες, ἐστιν ἀντιλέγειν πρὸς τὰ καλῶς εἰρημένα.

Ministerio de Educación, Cultura y Deporte

# ΚΕΦΑΛΑΙΟΝ κβ.

ΕΠΕΙΔΗ πάντα παρὰ Θεῶν ἔχομεν, δίκαιον δὲ τοῖς διδοῦσι τῶν διδομένων ἀπάρχεσθαι, χρημάτων μὲν δι' ἀναθημάτων, σωμάτων δὲ διὰ κόσμου, ζωῆς δὲ διὰ θυσιῶν ἀπαρχόμεθα. Ἔπειτα αἱ μὲν χωρὶς θυσιῶν εὐχαὶ, λόγοι μόνον εἰσὶν, αἱ δὲ μετὰ θυσιῶν ἔμψυχοι λόγοι· τοῦ μὲν λόγου τὴν ζωὴν δυναμοῦντος, τῆς δὲ ζωῆς τὸν λόγον ψυχούσης. Ἔτι παντὸς πράγματος εὐδαιμονία, ἡ οἰκεία τελειότης ἐστίν· οἰκεία δὲ τελειότης ἑκάστῳ ἡ πρὸς τὴν ἑαυτοῦ αἰτίαν συναφή. Καὶ διὰ τοῦτο ἡμεῖς εὐχόμεθα συναφθῆναι Θεοῖς. Salluſt. c. 16. de ſacrific.

Ἐπεὶ τοίνυν ζωὴ μὲν πρώτη ἡ τῶν Θεῶν ἐστι, ζωὴ δέ τις καὶ ἡ ἀνθρωπίνη· βούλεται δὲ αὕτη συναφθῆναι ἐκείνῃ, μεσότητος δεῖται. Οὐδὲν γὰρ τῶν πλεῖστον διεστώτων ἀμέσως συνάπτεται. Ἡ δὲ μεσότης ὁμοία εἶναι τοῖς συναπτομένοις ὀφείλει. Ζωῆς οὖν μεσότητα, ζωὴν ἐχρῆν εἶναι· καὶ διὰ τοῦτο ζῶα θύουσιν ἄνθρωποι, οἵτε νῦν εὐδαίμονες, καὶ πάντες οἱ πάλαι· καὶ ταῦτα οὐχ ἁπλῶς, ἀλλ' ἑκάστῳ Θεῷ τὰ πρέποντα, μετὰ πολλῆς τῆς ἄλλης θρησκείας.



Ministerio de Educación, Cultura y Deporte

Sallust. vit. Homer. Ἐπεὶ δὲ τὸ παρὰ ἀνθρώποις δίκαιον τοῦτο νομίζεται, τὸ ἀπονεμητικὸν ἑκάστῳ τοῦ κατ' ἀξίαν· ἐν ᾧ μάλιστά ἐστι τὸ Θεοὺς σέβειν· Τὴν μὲν εἰς αὐτοὺς εὐσέβειαν ἐν πολλοῖς διδάσκει Ὅμηρος ὁ Ποιήτης, εἰσάγων τοὺς Ἥρωας θύοντας, καὶ εὐχομένους, καὶ δῶρα ἀνατιθέντας τοῖς Θεοῖς, καὶ ὕμνοις γεραίνοντας αὐτούς· καὶ τῆς εὐσεβείας ἀμοιβὴν ἀπολαμβάνοντας τὴν παρὰ τῶν Θεῶν ἐπικουρίαν.

Hesiod oper. & Dies, L. I. v. 333.

Καδδύναμιν δ' ἔρδειν ἱερ' ἀθανάτοισι Θεοῖσιν
Αγνῶς καὶ καθαρῶς, ἐπι δ' ἀγλαὰ μηρία καίειν.
Αλλοτε δὴ σπονδῇσι θύεσσί τε ἱλάσκεσθαι,
Η μὲν ὅτ' εὐνάζῃ, καὶ ὅταν φάος ἱερὸν ἔλθῃ·
Ως κέ τοι ἵλαον κραδίην καὶ θυμὸν ἔχωσιν·

---

## ΚΕΦΑΛΑΙΟΝ κγ΄.

ΑΓΗΣΙΛΑΟΣ ὁ Λακεδαιμόνιος κωλύοντας, ἵνα μὴ πορευηται, τοὺς Ἀθηναίους (Æmili Prob.) τε, καὶ Βοιώτους τε, καὶ τοὺς αὐτων συμμάχους νικήσας ἐν τῇ Κορονίᾳ τῇ βαρείᾳ, τῷ γοῦν νικήματι καθ' αὐτου λαμπρῷ τι μειζονος τῆς εὐφημιᾶς (καταστησὰς δὲ τοῖς ἀνθρωπων ἄλλοις τι παράδειγμα τῆς εὐσέβειας) ἔπεταξε. Πολλῶν οὖν ἐχθρῶν ἐς τὸν Ἀθηναίας πρόσφυγομένων, τι περιγινεσθαι ἐθέλει Αγεσίλαος ἐρωτηθεὶς, βιαζεσθαι παντελως ἐκωλύσεν. Κἂν αὐτὸς ᾖ ἐν τῇ μαχῇ

πολλαχῶς πεπληγμένος, καὶ διόπερ ὀργὴν δοκῇ ποιεῖσθαι ἑκάστῳ τῶν ἐποπλισαμένων, ἀλλὰ καὶ ὡς τὸ εὐσεβὲς ὑπεριχύεν.

Plutarc. apopth.

Τῶν δὲ Ἰουδαίων, πολιορκοῦντος Ἀντιόχου τοῦ τῆς Συρίας ἄνακτος τὰ Ἱεροσόλυμα, πρὸς τὴν μεγίστην Ἑορτὴν αἰτησαμένων ἑπτὰ ἡμερῶν ἀνοχάς, οὐ μόνον ἔδωκε ταύτας, ἀλλὰ καὶ ταύρους χρυσόκερως παρασκευασάμενος, καὶ θυμιαμάτων, καὶ ἀρωμάτων πλῆθος, ἄχρι τῶν πυλῶν ἐπόμπευσε· καὶ παραδοὺς τοῖς ἐκείνων Ἱερεῦσι τὴν θυσίαν αὐτὸς ἐπανῆλθεν εἰς τὸ στρατόπεδον. Οἱ δὲ Ἰουδαῖοι θαυμάσαντες, εὐθὺς ἑαυτοὺς μετὰ τὴν ἑορτὴν ἐνεχείριον.

Isocrat. areopagiticus.

Ἐν δὲ τοῖς ἁγιωτάτοις τῶν ἱερῶν, ἀπὸ μισθωμάτων ἔθυον. Ἀλλ' ἐκεῖνο μόνον ἐτήρουν ὅπως μηδὲν μήτε τῶν πατρίων καταλύσουσι, μήτ' ἔξω τῶν νομιζομένων προσθήσουσιν. Οὐ γὰρ ἐν ταῖς πολυτελείαις ἐνόμιζον εἶναι τὴν εὐσέβειαν, ἀλλ' ἐν τῷ μηδὲν κινεῖν, ὧν αὐτοῖς οἱ πρόγονοι παρέδοσαν.

Id. ad Nicocl.

Τὰ περὶ τοὺς Θεοὺς, ποίει μὲν, ὡς οἱ πρόγονοι κατέδειξαν. Ἡγοῦ δὲ τοῦτο εἶναι θῦμα κάλλιστον, καὶ δικαιότατον σεαυτὸν παρέχῃς. μᾶλλον γὰρ ἐλπὶς τοὺς τοιούτους ἢ τοὺς ἱερεῖα πολλὰ καταβάλλοντας πράξειν τι παρὰ τῶν Θεῶν ἀγαθόν.



Ministerio de Educación, Cultura y Deporte

Ælian. L. 3. c. 22. Ὅτε ἑάλω τὸ Ἴλιον, οἰκτείραντες οἱ Ἀχαιοὶ τὰς τῶν ἁλισκομένων τύχας, καὶ πάνυ ἑλληνικῶς τοῦτο ἐκήρυξαν, ἕκαστον τῶν ἐλευθέρων ἕν ὅ, τι καὶ βούλεται τῶν οἰκείων ἀποφέρειν ἀράμενον. Ὁ οὖν Αἰνείας τοὺς πατρῴους Θεοὺς βαστάσας ἔφερεν, ὑπεριδὼν τῶν ἄλλων. Ἡσθέντες οὖν ἐπὶ τῇ τοῦ ἀνδρὸς εὐσεβείᾳ οἱ Ἑλλήνες, καὶ δεύτερον αὐτοῦ κτῆμα συνεχώρησαν λαβεῖν. Ὁ δὲ τὸν πατέρα πανυ σφόδρα γεγηρακότα ἀναθέμενος ὤμοις ἔφερεν. Ὑπερεκπλαγέντες οὖν καὶ ἐπὶ τούτῳ οὐχ ἥκιστα, πάντων αὐτῷ τῶν οἰκείων κτημάτων ἀπέστησαν· ὁμολογοῦντες ὅτι πρὸς τοὺς εὐσεβεῖς τῶν ἀνθρώπων, καὶ τοὺς Θεοὺς καὶ τοὺς γειναμένους δι' αἰδοῦς ἄγοντας, καὶ οἱ φύσει πολέμιοι ἥμεροι γίνονται.

---

## ΚΕΦΑΛΑΙΟΝ κδ'.

Id. L. 1. c. 20. ΔΙΟΝΥΣΙΟΣ ἐξ ἁπάντων τῶν ἐν Συρακούσαις ἱερων ἐσύλησε τὰ χρήματα. Τοῦ δὲ ἀγάλματος τοῦ Διὸς περιεῖλε τὸν ἐσθῆτα καὶ τὸν κοσμον ὅσος ἦν, φασι, χρυσίου πέντε καὶ ὀγδοήκοντα ταλάντων. Ὀκνούντων δὲ τῶν δημιουργῶν ἅψασθαι, ὁ δὲ πρῶτος ἔκρουσε. Τὸ ἄγαλμα δὲ τοῦ Ἀπόλλωνος περιεσύλησεν,

Ministerio de Educación, Cultura y Deporte

ἔχον καὶ ἂν τὸ χρυσοῦς βοστρύχους, κελεύσας ἀποκεῖραί τινα αὐτοῦς. Πλεύσας δὲ εἰς Τροιζηνίους, τὰ τοῦ Απόλλωνος, καὶ τῆς Λευκοθέας ἅπαντα ἐσύλησε χρήματα τὴν παρακειμένην ἀργῦραν τῷ Απόλλωνι τράπεζαν κελεύσας ἀφελεῖν, ἀγαθοῦ Δαίμονος τῷ Θεῷ διδόντος πρόποσιν. Ὑπὲρ δὴ τούτου ἔτισε δίκην. Ex Græc.

Καὶ ζῶν, καὶ θανῶν ὁ φαυλος κολάζεται. cornic.
Χρὴ τοὺς ἀθέους δίκας διδόναι τῶν τολημάτων. Lucian. de mort. Peregrin.

Ο᾽ αὐτὸς Διονύσιος Θουρίοις ἐπέπλει. καὶ τριακοσίας ἦγεν ἐπ᾽ αὐτοὺς ναῦς ὁπλίτων πεπληρωμένας. Βορρᾶς δὲ ἀντιπνεύσας τὰ σκάφη συνέτριψε, καὶ τὴν δύναμιν αὐτοῦ τὴν ναυτικὴν ἠφάνισεν. Ælian. L. 12. c. 6.

Ε᾽πειδὴ καὶ αὐτοῦ ἡ τυραννὶς κατελύθη ὑπὸ Δίωνος, ἐνταῦθα οἱ Λοκροὶ τὴν αὐτοῦ γυναῖκα, (Λοκρὶς ἦν) καὶ τὰς θυγατέρας ἐπιλαβόντες, καὶ κεντρηντες αὐτὰς ὑπὸ τοῖς ὄνυξι τοῖς τῶν χειρῶν βελόναις ἀπέκτειναν. Τὰ δὲ ὀστᾶ κατέκοψαν ἐν ὅλμοις καὶ τὰ κρέα τῶν ὀστῶν ἀφελόντες κατεπόντωσαν. Ο῾ δὲ ἐν Κορίνθῳ πολλαῖς καὶ ποικίλαις χρησάμενος βίου μεταβολαῖς, διὰ τὴν ὑπερβάλλουσαν ἀπορίαν, τελευταῖον δὲ μητραγυρτῶν, καὶ κρούων τύμπανα, καὶ καταυλούμενος δὲ τὸν βίον κατέστρεψεν. Id. L. 9. c. 8.

Ministerio de Educación, Cultura y Deporte

Æsop. f. 165. Τοῖς ἐν ἄγεσι τῶν ἀνθρώπων οὔτε γῆς, οὔτε ἄερος, οὔτε ὕδατος στοιχεῖον ἀσφαλές ἐστιν. Ἀνθρώπον μὲν τις ἀποκτείνας, ὑπὸ τῶν συγγενῶν ἐκείνου ἐδιώκεται. Γενόμενος δὲ κατὰ τὸν Νεῖλον πόταμον, Λύκου αὐτῷ ἀπαντήσαντας, φοβηθεὶς ἀνέβη ἐπὶ τι δένδρον τῷ πόταμῷ παρακείμενον, κἀκεῖ ἐκρύπτετο. Θεασάμενος δὲ ἐνταῦθο Δράκοντα κατ᾽ αὐτοῦ διαίρουμενον ἑαυτὸν, εἰς τὸν πόταμον καθῆκεν. Ἐν δὲ τῷ ποταμῷ Κροκόδειλος αὐτὸν κατεθοινήσατο.

Lucian. de luctu. Οἱ μὲν δὴ πολὺς ὅμιλος, οὓς ἰδίωτας οἱ Σοφοὶ καλοῦσιν, Ὁμήρῳ τε καὶ Ἡσιόδῳ, καὶ τοῖς ἄλλοις μυθοποιοῖς περὶ τούτων πειθόμενοι, καὶ νόμον θέμενοι, τὴν ποίησιν αὐτῶν, τόπον τινὰ ὑπὸ τῇ γῇ βαθὺν, Ἅδην ὑπειλήφασι. Μέγαν δὲ, καὶ πολύχωρον τοῦτον εἶναι, καὶ ζοφερὸν, καὶ ἀνήλιον. Οὗ μὲν Πλούτων καὶ ἡ Περσεφόνη δυναστεύουσι, καὶ τὴν τῶν ὅλων δεσποτείαν ἔχουσιν. Ὑπηρετοῦσι δὲ αὐτοῖς, καὶ τὴν ἀρχὴν συνδιατλοῦσιν, ὄχλος πολὺς, ἐριννύες τε, καὶ ποιναὶ, καὶ φόβοι, καὶ ὁ Ἑρμῆς· οὗτος μὲν γε οὐκ ἀεὶ συμπαρών. Ὕπαρχοι δὲ, καὶ Σατράπαι, καὶ Δικασταὶ κάθηνται δύο, Μίνως τε, καὶ Ραδαμάνθυς,

Ministerio de Educación, Cultura y Deporte

Κρῆτες ὄντες, καὶ υἱοὶ τοῦ Δίος. Οὗτοι δε, τοὺς μὲν ἀγαθοὺς τῶν ἀνδρῶν, καὶ δικαίους, καὶ κατ' ἀρετὴν βεβιωκότας, ἐπειδὰν συναλισθῶσι πολλοὶ, καθάπερ εἰς ἀποικίαν τινὰ, πέμπουσιν ἐς τὸ Ηλύσιον πεδίον, τῷ ἀρίστῳ βίῳ συνεσομένοις. Ἂν δὲ τινας τῶν πονηρῶν λάβωσι, ταῖς ἐριννύσι παραδόντες, ἐς τὸν τῶν ἀσεβῶν χωρον ἐκπέμπουσι, κατὰ λόγον τῆς ἀδίκιας κολασθησομένοις. Ἔνθα δὴ τί τῶν κακῶν πασχουσι; Στρεβλούμενοί τε, καὶ καιόμενοι, καὶ ὑπὸ Γυπῶν ἐσθιόμενοι, καὶ τροχῷ συμφερόμενοι, καὶ λίθους ἀνακυλίοντας· ὁ μὲν γὰρ Τάνταλος ἐπ' αὐτῇ τῇ λίμνῃ αὐτὸς ἕστηκε, κινδυνεύων ὑπὸ τοῦ δίψους ὁ κακοδαίμων ἀποθανεῖν.

Δεικνὺς ὁ Ραδάμανθυς τὰς πλησίον νήσους, ἐφαίνετο δὲ πέντε τὸν ἀριθμὸν. Ταῦτας μὲν εἶναι ἔφασκε τὰς τῶν ἀσεβῶν, τὰς πλησίον, ἀφ' ὧν δὴ ἔφη ὁρᾷς τὸ πολὺ πῦρ καιόμενον. Id. veræ histor. L. 2.

Ἐπεὶ δὲ τὸν εὐώδη ἀέρα προϊόντες παρεληλύθειμεν, αὐτίκα ἡμᾶς ὀσμή τε δεινὴ διεδέχετο, οἷον, ἀσφάλτου καὶ θείου, καὶ πίσσης, ἅμα καιομένων. Καὶ κνίσσα δὲ πονηρὰ, καὶ ἀφόρητος, ὥσπερ ἀπ' ἀνθρώπων ὀπτωμέ-

Ministerio de Educación, Cultura y Deporte

νων. Καὶ ὁ ἀὴρ ζοφερὸς καὶ ὁμιχλώδης, καὶ κατέσταζεν ἑαυτοῦ δρόσος πιττίνη. Καὶ μὲν τοι μαστίγων ψόφος ἠκόωετο, καὶ οἰμωγὴ ανθρώπων πολλῶν. Ταῖς μὲν οὖν ἄλλαις, οὐ προσέχομεν. Ελθόντες δὲ ἐπὶ τὴν εἱρκτην, καὶ τὸ κολαστήριον, πρῶτα μὲν τὴν φύσιν τοῦ τόπου ἐθαυμάζομεν. Τὸ μὲν γὰρ ἔδαφος αὐτὸ μαχαίραις, καὶ σκόλοψι πάντῃ ἐξηνθήκει. Κύκλῳ δὲ ποταμοὶ περιέῤῥεον, ὁ μὲν, βορβόρου, ὁ δεύτερος δὲ αἵματος. Ο͑ δὲ ἔνδον, πυρὸς, πάνυ μέγας οὗτος, καὶ ἀπέρατος, καὶ ἔῤῥει, ὥσπερ ὕδωρ, καὶ ἐκυματοῦτο, ὥσπερ θάλασσα. Καὶ ἰχθῦς δὲ εἶχε πολλούς, τοὺς μὲν δολοῖς προσεοικότας· τοὺς δὲ μικροὺς ἄνθραξι πεπυρωμένοις· ἐκάλουν δὲ αὐτοὺς Λυχνίσκους. Εἴσοδος δὲ μία, στενὴ διὰ πάντων καὶ πυλωρὸς ἐφειστήκει Τίμων ὁ Αθηναῖος. Παρελθόντες δὲ ὅμως, τοῦ Ναυπλίου καθηγουμένου, ἑωρῶμεν κολαζομένους πολλοὺς μὲν Βασιλέας, πολλοὺς δὲ ἰδιώτας.

Apocalyp. 20. v. 13. Ο͑τε ἐτελέσθησαν τὰ χίλια ἔτι, λυθήσεται ὁ Σατανᾶς ἐκ τῆς φυλακῆς αὐτοῦ, καὶ ἐξελεύσεται πλανῆσαι τὰ ἔθνη τὰ ἐν τέσσαρσιν γωνίαις τῆς γῆς τὸν Γὼγ καὶ τὸν Μαγωγ συναγαγειν αὐτοὺς εἰς πόλεμον, ὧν ὁ

Ministerio de Educación, Cultura y Deporte

ἀριθμὸς ὡς ἡ ἄμμος τῆς θαλάσσης. Καὶ ἀνέβησαν ἐπὶ πλάτος τῆς γῆς, καὶ ἐκύκλωσαν τὴν παρεμβολὴν τῶν ἁγίων καὶ τὴν πόλιν τὴν ἠγαπημένην, καὶ κατέβη πῦρ ἀπὸ τοῦ Θεοῦ ἐκ τοῦ οὐρανοῦ, καὶ κατέφαγεν αὐτοὺς, καὶ ὁ Διάβολος ὁ πλανῶν αὐτοὺς ἐβλήθη, εἰς τὴν λίμνην τοῦ πυρὸς, καὶ θείου, ὅπου τὸ Θηρίον, καὶ ὁ Ψευδοπροφήτης, καὶ βασανισθήσονται ἡμέρας καὶ νυκτὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λέγω δέ ὑμῖν, ὅτι πολλοὶ ἀπὸ Ἀνατολῶν, καὶ Δυσμῶν ἥξουσι καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· οἱ δὲ υἱοὶ τῆς βασιλείας ἐκβληθήσονται εἰς τὸ σκότος τὸ ἐξώτερον, ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Matth. c. 8. v. 12.

Ὅταν δὲ ἔλθῃ ὁ Υἱὸς τοῦ Ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, καὶ πάντες οἱ ἅγιοι ἄγγελοι μετ' αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ, καὶ συναχθήσεται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη, καὶ ἀφοριεῖ αὐτοὺς ἀπ' ἀλλήλων, ὥσπερ ὁ ποιμὴν ἀφορίζει τὰ πρόβατα ἀπὸ τῶν ἐρίφων, καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων. Τότε ἐρεῖ ὁ Βασιλεὺς τοῖς ἐκ δεξιῶν αὐτοῦ· Id. c. 25. v. 31.

Ministerio de Educación, Cultura y Deporte

δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατέρος μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κοσμου. Τότε ἐρεῖ καὶ τοῖς ἐξ εὐωνύμων· πορεύεσθε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἑτοιμασμένον τῷ Διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. Καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον· οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον.

---

Matth. c. 8. v. 12.

## ΚΕΦΑΛΑΙΟΝ κ' ε'.

Æsop. f. 192. ΠΟΝΗΡΩ͂Ν αἱ χαριτες φοβεραί εἰσὶν, καὶ αὐτοὶ ὑπὸ τοῦ Θείου ὑποβλέπονται. Τοῦ Δίος γάμους ποιοῦντος, πάντα τὰ ζῶα ἀνήνεγκαν δῶρα ἕκαστον κατὰ τὴν ἰδίαν δύναμιν. Ὄφις ὁ ἕρπων, ῥόδον λαβὼν ἐν τῷ στόματι ἀνέβη. Ἰδὼν δὲ αὐτὸν ὁ Ζεὺς εἶπε· τῶν ἄλλων πάντων τὰ δῶρα λαμβάνω, ἀπὸ δὲ τοῦ σοῦ στόματος οὐ λαμβάνω.

Diversor. sentent. *Κακοῦ γὰρ ἀνδρὸς δῶρ' ὄνησιν οὐκ ἔχει.*

Æsop. f. 149. Χεσαῖος Μυς κακῇ μοίρᾳ Βατράχῳ ἐφιλιωθη. Ὁ δὲ Βάτραχος κακῶς βουλευσάμενος, τὸν πόδα τῆς Μυὸς, τῷ ἑαυτοῦ ποδὶ συνέδησε. Καὶ πρῶτον μὲν ἐπὶ τῆς χώρας ἦλθον σῖτον δειπνήσαντες ἔπειτα τὸ χεῖλος

Ministerio de Educación, Cultura y Deporte

τῆς λίμνης πλησιάσαντες, ὁ μὲν Βάτραχος τὸν Μυν εἰς τὸν βυθὸν κατήνεγκεν. Αὐτὸς βρυχάζων τῷ ὕδατι, καὶ τὸ βρεκεξ καὶ κεξὰν ἀνακράζων. Ὁ δὲ ἄθλιος Μυς τῷ ὕδατι φυσηθεὶς, ἐτεθνήκει· ἐπέπλει δὲ τῷ ποδὶ τοῦ Βατράχου συνδεδεμένος. Ἴκτινος δὲ τοῦτον ἰδὼν, τοῖς ὄνυξι ἥρπασε· Βάτραχος δὲ δεσμώτης ἐπεκολούθει, δεῖπνον καὶ αὐτῷ Ἰκτίνῳ γενόμενος. Ὁ μύθος δηλοι ὅτι, κἂν νεκρὸς ἦτις, ἰσχύει πρὸν ἄμυναν· ἡ γὰρ θεια δίκη ὑφορᾷ πάντα, καὶ τοῖς ἶσον ἀποδιδῶσι, ζυγοστατεῖ.

Ἀνδρὸς πονηροῦ φεῦγε συνοδίαν ἀεί. Diversor.
Τὸν δόλιον ἄνδρα φεῦγε παρ' ὅλον τὸν βίον. sentent.
Πονηρὸν ἄνδρα μηδέποτε ποιοῦ φίλον.

Ἀρούρη παγίδας ὁ Γεωργὸς ἔστησεν. Θηρεύσας δὲ γεράνους τὰς τὸν σπόρον φθείροντας, σὺν αὐτοῖς καὶ Πελαργον εἰλήφει. Ὁ δὲ χωλεύων ἰκέτευε λέγων ἀφεθεῖναι· οὐ γὰρ εἰμὶ Γέρανος, Πελαργὸς εἰμὶ εὐσεβέστατον ζῶον ὅς τιμῶ τὸν πατέρα, καὶ δουλεύω· ἴδε καὶ τὴν χροιαν, ὡς οὐχ ὁμοια. Ὁ δὲ ἔφη· οὐκ οἶδα τι λέγεις· ἐγὼ σὺν οἷς εἰλήφα σε, μετ' αὐτῶν καὶ ἀπολέσω. Καλόν ἐστι φευγειν, καὶ μὴ συνκοινωνεῖν ἀνδράσι κακοῖς, μήπως κινδύνοις σὺν αὐτοῖς ἐμπάρῃς. Æsop. f. 175.

Ministerio de Educación, Cultura y Deporte

Diversor. sentent. Theognid. sent. v. 179.

Α'συλλόγιστον ἐστιν ἡ πονηρία.
Α'νδρὸς πονηρȣ σπλάγχνου ȣ μαλάσσεται.
Εἰκὸς τὸν κακὸν ἄνδρα κακῶς τὰ δίκαια νομίζειν,
Μηδεμίαν κατόπιν ἀζόμενον νεμεσιν.
Δειλῷ γαρ τ' ἀπάλαμνα βροτῷ πάρα πολλ' ἀνελέσθαι
Πὰρ ποδὸς, ἡγεῖσθαι θ' ὡς καλὰ πάντα τιθεῖ.
Α'στῶν μηδενὶ πιστὸς ἐὼν πόδα τόνδε πρόβαινε
Μήθ' ὅρκῳ πίσυνος, μήτε συνημισύνῃ·
Μηδ' εἰ Ζῆν' ἐθέλει παρέχειν βασιλῆα μέγιστον
Ε'γγυον Α'θανάτων, πιστὰ τιθεῖν ἐθέλων.
Ε'ν γὰρ τοι πόλει ὧδε κακοψόγω ἀνδανεί ȣδὲν,
Ω'ς δὲ τὸ σῶσαι, οἱ πολλοὶ αν'ολβότεροι.
Νῦν δὲ τὰ τῶν ἀγαθῶν κακὰ γιγνεται ἐσθλὰ κακοῖσιν
Α'νδρῶν, γίγνονται δ' ἐκτρατραπέλοισι νομος·
Αἰδὼς μὲν γὰρ ὄλωλεν, αν'ειδείη δὲ καὶ ὕβρις
Νικήσασα δίκην, γῆν κατὰ πᾶσαν ἔχει.

---

## ΚΕΦΑΛΑΙΟΝ κ' ϛ'.

Timæus Locris de animâ mundi.

ΜΕΤΑ' δὲ τὰν τῶ Κοσμῶ σύστασιν, ζώων θνητῶν γέννασιν ὁ Θεος ἐμαχανάσατο, ἵν' ᾖ τέλεος, ποτὶ τὰν εἰκόνα παντελῶς ἀπειργασμένος. Τὰν μὲν ὦν ἀνθρωπίναν ψυχὰν ἐκ τȣ̃ αὐτῶν λόγον καὶ δυναμίων συγκερασάμενος καὶ μερίξας, διένειμε τᾷ φύσει τᾷ ἀλλοιωτικᾷ παραδȣ̀ς· διαδεξαμένα δ' αὐτὸν ἐν τῷ ἀπεργάζεν. . . . . Τᾶς μὲν γὰρ ἀνθρωπίνας ψυχᾶς τὸ μὲν, λογικόν ἐστι καὶ νοερὸν, τὸ δ' ἄλογον καὶ ἄφρον. Τῶ δὲ λογικῶ τὸ μὲν κρέσσον ἐκ τᾶς ταυτῶ φύσιος·

φύσιος· τὸ δὲ χέρειον, ἐκ τᾶς τῶ ἑτέρω. Ἑκάτερον δὲ περὶ τὰν κεφαλὰν ἱδρυμαιμένον, ὡς τἄλλα μέρεα τᾶς ψυχᾶς καὶ τῶ σώματος ὑπηρετέεν τούτῳ, καθάπερ ὑπ᾽ αὐτῶ τῶ σκάνεος, ἅπαντος. Τῶ δ᾽ ἀλόγω μέρεος τὸ μὲν θυμοειδὲς περὶ τὰν καρδίαν· τὸ δ᾽ ἐπιθυματικὸν, περὶ τὸ ἧπαρ. Τῶ δὲ σώματος ἀρχὰν μὲν καὶ ῥίζαν μυελῶ εἶμεν ἐγκέφαλον, ἐν ᾧ ἁ ἁγεμονία. Τᾶν δ᾽ αἰσθασίων τὰν μὲν ὄψιν ἀμμιν τὸν Θεὸν ἀνάψαι ἐς θέαν τῶν ὠρανίων, καὶ ἐπιστάμας ἀνάλαψιν.

Τὰν δ᾽ ἀκοὰν, λόγων καὶ μελῶν ἀντιλαπτικὰν ὁ Θεὸς ἔφυσεν· ἇς στερισκόμενος ἐκ γενέσιος ὁ ἄνθρωπος, οὔτε λόγον ἔτι προέσθαι δυνάσεται. Διὸ καὶ συγγενεστάταν τῷ λόγῳ ταύταν αἴσθασιν φαντὶ εἶμεν. Φωνὰ δ᾽ ἐστὶ μὲν πλᾶξις ἐν ἀέρι διϊκνουμένα ποτὶ τὰν ψυχὰν δι᾽ ὤτων, ὧν τοὶ πόροι διήκοντι ἄχρις ἥπατος χωρέοντες. Ἐν τούτοις πνεῦμα, οὗ ἁ κίνασις ἀκοά ἐστι. Φωνας δὴ καὶ ἀκοᾶς, ἁ μὲν ταχεῖα, ὀξεῖα· ἁ δὲ βραδεῖα βαρεῖα· μέσα δ᾽ ἁσυμμετροτάτα. Καὶ ἁ μὲν πολλὰ καὶ κεχυμένα, μεγάλα· ἁ δὲ ὀλίγα καὶ συναγμένα, μικρά. Ἁ δὲ τεταγμένα ποτὶ λόγως μωσικῶς, ἐμμελής· ἁ δὲ ἄτακτός τε καὶ ἄλογος, ἐκμελής τε καὶ ἀνάρμοστος.

Ποτὶ δὲ τὸ εὖ ἔχεν τὸ ζῶον, δεῖ τὸ σῶμα ἔχεν τὰς ὑπ' αὐτῷ ἀρετὰς, ὑγείαν τε καὶ εὐαισθασίαν, ἰσχύν τε καὶ κάλλος. Ἀρχαὶ δὲ κάλλεος, συμμετρία ποτί τ' αὐτὰ μέρεα, καὶ ποτὶ τὰν ψυχάν. Ἁ γὰρ φύσις, οἷον ὄργανον ἁρμόξατο τὸ σκᾶνος, ὑπακοὸν τε εἶμεν καὶ ἐναρμόνιον ταῖς τῶν βίων ὑποθέσεσι. Δεῖ δὲ καὶ τὰν ψυχὰν ῥυθμίζεσθαι ποτὶ τὰς ἀναλόγως ἀρετάς· ποτὶ μὲν σωφροσύναν, οἷον ποτὶ ὑγείαν τὸ σῶμα· ποτὶ δὲ φρόνασιν, οἷον ποτὶ εὐαισθασίαν· ποτὶ δὲ ἀνδρειότατα, οἷον ποτὶ ῥώμαν καὶ ἰσχύν· ποτὶ δὲ δικαιοσύναν, οἷον ποτὶ κάλλος τὸ σῶμα.

Τοῖς ἐνδιατρίβεν σὺν αὐταρκείᾳ τε ποτ' ἀνθρώπεια, καὶ συνεργίᾳ ἐπὶ τὸν σύμμετρον βίω χρόνον, εὔδαιμον ἐστιν. Οὕτω μὴν ὁ δαίμων μοίρας τάς δ' ἔλαχε, δι' ἀλαθεστάταν δόξαν ἄγεται ἐπὶ τὸν εὐδαιμονέστατον βίον· εἰ δὲ κά τις σκλαρὸς καὶ ἀπειθὴς τούτῳ δ' ἑπέσθω κόλασις, ἅ τ' ἐκ τῶν νόμων καὶ ἁ ἐκ τῶν λόγων σύντονα ἐπάγοισα δείματά τε ἐπουράνιά καὶ τὰ καθ' ἅδεω, ὅτι κολάσιες ἀπαραίτητοι ἀπόκεινται δυσδαίμοσι νερτέροις· καὶ τἄλλα ὅσα ἐπαινέω τὸν Ιωνικὸν Ποιητὰν, ἐκ παλαιᾶς ποιεῦντα τὼς ἐναγέας. Ὡς γὰρ τὰ

σώματα νοσώδεσι πόκα ὑγιάζομες, εἴκα μὴ εἴκη τοῖς ὑγιεινοτάτοις· οὕτω τὰς ψυχὰς ἀπείργομες ψευδέσι λόγοις, εἴ κα μὴ ἄγηται ἀλαθέσι.

Ἔστι δέ τις δύναμις, οὐσίας μὲν δευτέρα, ψυχῆς δὲ πρώτη, ἔχουσα μὲν ἐκ τῆς οὐσίας τὸ εἶναι, τελειοῦσα δὲ τὴν ψυχὴν, ὥσπερ Ἥλιος τὰς ὄψεις. Ἀθάνατον δὲ τὴν ψυχὴν εἶναι ἀνάγκη, ὅτι τε γινώσκει Θεόν. Salluſt. Philoſ. de mente.

Ὁ δὲ νόος ἐπ' ἄκρας τῆς κορυφῆς τῶ σώματος ἱδρυμένος, καὶ ἔχων περιαυγέα καὶ διαυγέα τὰν ἔποψιν, ματεύεται τὰν τῶν ἐόντων φρόνασιν· καὶ τοῦτ' ἔργον ἐντὶ αὐτῷ κατὰ φύσιν, τὸ ματευσάμενον, καὶ κτησάμενον, ἀκολουθῆσαι τοῖς βελτίοσιν αὐτοῦ, καὶ τιμιωτάτοις. Ἀρχὰ γὰρ καὶ αἰτία καὶ κανὼν ἐντὶ τᾶς ἀνθρωπίνας εὐδαιμοσύνας, ἁ τῶν θείων καὶ τιμιωτάτων ἐπίγνωσις. Theageſ. de animo.

Μὴ περιΐδῃς τὴν σαυτοῦ φύσιν ἅμα πᾶσαν διαλυθεῖσαν· ἀλλ' ἐπειδὴ θνητοῦ σώματος ἔτυχες, ἀθανάτου δὲ ψυχῆς, πειρῶ τῆς ψυχῆς ἀθάνατον μνήμην καταλιπεῖν. Μελέτα περὶ καλῶν ἐπιτηδευμάτων λέγειν, ἵνα συνεθισθῇς ὅμοια τοῖς εἰρημένοις φρονεῖν. Ἃ δ' ἂν σοι λογιζομένῳ φαίνηται βέλτιστα, ταῦτα τοῖς Iſocrat. ad Nicocl.



Ministerio de Educación, Cultura y Deporte

ἔργοις ἐπιτέλει. Ὧν τὰς δόξας ζηλοῖς, μιμοῦ τὰς πράξεις.

Diverfor. fentent. Ψυχὴν ἔτιζε πρὸς τὰ χρηστὰ πράγματα.

## ΚΕΦΑΛΑΙΟΝ κʹ ζʹ.

Diverfor. fentent. ὍΠΛΟΝ μέγιστόν ἐστιν ἡ ἀρετὴ βροτοῖς.

Metop. de virtute. Ἀρετὰ ἐντὶ ἀνθρώπω τελειότας φύσιος ἀνθρώπω. Ἕκαστον γὰρ τῶν ἐόντων, τέλειον καὶ ἄκρον γίνεται, κατὰ τὰν οἰκήαν τᾶς ἀρετᾶς φύσιν. Ἵππω τε γὰρ ἀρετὰ ἐντὶ, ἃ ἐς τὸ ἄκρον ἄγοισα τὰν τῶ Ἵππω φύσιν· καὶ ἐπὶ τῶν μερέων δὲ τῶν καθ᾽ ἕκαστον, ὁ αὐτὸς λόγος. Ὀμμάτων τε γὰρ ἀρετὰ, ὀξυδορκία· αὐτὰ δ᾽ ἀκρότας ἐντὶ τᾶς ὀφθαλμῶν φύσιος· καὶ ὤτων ἀρετά, ὀξυακοΐα· αὐτὰ δ᾽ ἀκρότας ἐντὶ τᾶς ὤτων φύσιος· καὶ ποδῶν ἀρετὰ, ποδωκεία· καὶ αὐτὰ δὲ ἀκρότας ἐντὶ τᾶς ποδῶν φύσεως. Ἀνάγκα δ᾽ ἀρετὰν πᾶσαν τρία ταῦτ᾽ ἔχεν· λόγον, καὶ δύναμιν καὶ προαίρεσιν.

Theagef. de virtutibus. Οὐδὲν ἅτερον ἀλαθινὰ ἀρετά, εἰ μὴ ἕξις τῶ δέοντος. Ὅκα μεν ὧν ἐν τῷ θεωρὲν καὶ κρίνεν γένηται ἁ ἀρετὰ, καλέεται φρόνασις· ὅκα δὲ ἐν τῷ ὑφίστασθαι τὰ δεινά, Ἀνδρεία·

Ministerio de Educación, Cultura y Deporte

ὅκα δ' ἐν τῷ κατέχεν τὰ ἡδέα, Σωφροσύνα· ὅκα δ' ἐν τῷ κέρδεος ἀπoχέσθαι, καὶ βλάβας τᾶς εἰς τὸν πλασίον, Δικαιότας. Ὁπόταν δὲ ἐκ τῶ τὰς αἰτίας ἀναῤῥεπισθείσας ἦμεν, ἀδικὲν πέφυκεν ἄνθρωπος· αὗται δὲ τρεῖς τυγχάνοντι· Φιλαδονία μὲν ἐν ταῖς ἀπολαύσεσι, ταῖς διὰ σώματος· Πλεονεξία δὲ, ἐν τῷ κερδαίνεν· Φιλοδοξία δ', ἐν τῷ καθυπερέχεν τε τῶν ἴσων τε καὶ ὁμοίων· δεῖ τοιγαροῦν γνωρίζεν, ὅτι τούτοις ἀντιθέμεναι οἷόν τε ἐστιν, ἃ μὲν φόβον παρασκευάζοντι τοῖς ἀνθρώποις, ἃ δὲ αἰσχύναν, ἃ δ' καὶ ἐπιθυμίαν. Φόβον μὲν δὴ τῶν νόμων, Αἰσχύναν δὲ τῶν Θεῶν, Ἐπιθυμίαν δὲ τῶν λόγων. Διδάσκεν ὧν δεῖ τὼς νέως ἐξ ἀρχᾶς τάν τε Θεῶν τιμὰν, καὶ τὰν τῶν νόμων. Ἐκ τῶν δὲ γὰρ φανερὸν ἂν εἴη, ὅτι πᾶν ἔργον ἀνθρώπινον, καὶ βίος, ὁσιότατός τὲ, καὶ εὐσεβείας μετέξει αἰκ' ὀρθοπλοῇ, τόκα δὲ γίνεται ἀρετὰ καὶ πανάγαθία, περὶ ὅλαν τὰν ψυχάν. Clinias.

Ὅκα δὲ ἀπὸ τῶν παντῶν ἀφορίζεται τὸ καλὸν τὸ τέσσαρα μέρεα καὶ περιέχον τὰ τῶν καθηκόντων βεβαῖα γέννεα, ἐν τᾷ δι' ἀσκεῖν ταῦτα τοῦ ὅλου βίου ἡ πᾶσα καλοκἀγαθία κεῖσθαι, ἐν δ' τῷ οὐκ ἀσκεῖν, αἰσχύνη, περιέχουσα

καθ' αὐτὸν ὑποκρίνοντες, τοῖς τέσσαρσι βιβλίοις τὰ πρὸς ἑκάστας τῶν αὐτῶν ἀρετῶν προσήκοντα, περιβαλλεῖν μέλλομεν.

## ΤΕΛΟΣ ΠΡΩΤΟΥ ΒΙΒΛΙΟΥ.

### Suite du Chapitre ϛ'.

Plutar. apopht.

Τῇ δ' ἐγγυτέρω τοῦ Λεωτυχίδου πύλῃ Δράκοντος περὶ τὴν κλεῖν ἑλιχθέντος, καὶ τῶν μάντεων τέρας ἀποφαινομένων εἶναι, ὁ οὕτως ἔφη· οὔτ' ἔμοιγε δοκεῖ· ἀλλ' εἰ ἡ κλεῖς τῷ Δράκοντι περιειλίχθη, τέρας ἂν ἦν.

Id. apopht. Lacon.

Πρὸς Φίλιππον τὸν Ὀρφεοτελεστὴν πάντελως πτωχὸν ὄντα, λέγοντα δ' ὅτι οἱ παρ' αὐτῷ μυηθέντες μετὰ τὴν τοῦ βίου τελευτὴν εὐδαιμονοῦσι, τί οὖν, ὦ ὠνόητε, εἶπεν ὁ Λεωτυχίδας, οὐ τὴν ταχίστην ἀποθνήσκεις, ἵνα ἀναπαύσῃ, κακοδαιμονίαν τε καὶ πενίαν κλαίων;

Id. in Camillo.

Τοῖς ἀξίοις θαύματος καὶ τὸ πιστεύειν σφόδρα, καὶ τὸ λίαν ἀπιστεῖν ἐπισφρονές ἐστι διὰ τὴν ἀνθρωπίνην ἀσθένειαν, ὅραν οὐκ ἔχουσαν, οὐδὲ κρατοῦσας αὐτῆς ἀλλ' ἐκφερομένην ὅπου μὲν εἰς δεισιδαιμονίαν καὶ τυφον, ὅπου δὲ εἰς ὀλιγωρίαν τῶν Θείων καὶ περιφρόνησιν· ἡ δὲ εὐλάβεια, καὶ τὸ μηδεν ἄγαν ἄριστον.

Ministerio de Educación, Cultura y Deporte

# TABLE DES CHAPITRES.

I. CH. ά. *Le consentement de tous les Peuples prouve qu'il y a un Dieu,* p. 1
II. CH. β'. *Nous connoissons Dieu par ses œuvres,* 4
III. CH. γ'. *La nature de Dieu est très-pure & très-excellente,* 6
IV. CH. δ'. *Dieu gouverne & voit toutes choses,* 11
V. CH. ε'. *On adore & appaise Dieu par un esprit de piété,* 13
VI. CH. ϛ'. *Le Culte de Dieu exige plus de piété que de magnificence,* 16
*Caractères de la superstition,* 26
*Suite de ce dernier article,* 70
VII. CH. ζ'. *De l'impiété. Les Impies sont détestés de Dieu & des hommes,* 28
VIII. CH. ή. *Le cœur droit, & l'invention des arts, viennent de Dieu,* 31
IX. CH. θ'. *Les Temples ont été bâtis pour augmenter la dévotion. Description d'un temple célèbre. Cérémonie,* 34
X. CH. ί. *De la Priere, ou maniere de prier,* 40

Ministerio de Educación, Cultura y Deporte

XI. CH. κ̀ ὰ. *Dans nos Prieres, nous ne ſçavons ce que nous demandons*, 43

XII. CH. κ̀ β̀. *Des ſacrifices. Ils doivent ſe faire avec Cérémonies & Religion*, 53

XIII. CH. κ̀ γ. *La Religion en honneur & en ſûreté même parmi les ennemis*, 54

XIV. CH. κ̀ δ̀. *Les impies ou méchans, ſont tôt ou tard punis*, 56

*Deſcription du lieu où ils ſont enfermés, & de leurs tourmens*, 58

XV. CH. κ̀ ὲ. *Les préſens des méchans ſont à craindre. Ils ſont rejettés de Dieu. Il faut fuir leur compagnie, & ne jamais faire ſociété avec eux*, 62

XVI. CH. κ̀ ϛ̀. *L'homme eſt l'ouvrage de Dieu le plus parfait*, 64

XVII. CH. κ̀ ζ̀. *La Vertu eſt le meilleur bien de l'homme, & le ſeul qui lui ſoit propre en ce monde.* 68

Fin de la Table des Chapitres.

Ministerio de Educación, Cultura y Deporte

Ministerio de Educación, Cultura y Deporte

Ministerio de Educación, Cultura y Deporte

Ministerio de Educación, Cultura y Deporte

Ministerio de Educación, Cultura y Deporte